220. πόλιν καὶ ἤθεα sine τε e MS. Aug. probat Hermannus de Metris p. 67. et sic Gal.

222. ἐξελάσσωσι e MSS. suis Graevius. Plerique alii ἐξελάουσι.

223. διδόντες cum Gl. δικαιοκρινοῦντες Gal. sed ab eadem manu in marg. γρ. διδοῦσι.

225. Citat Eustath. Il. 1. p. 743, 36 = 640, 20. Sequentem v. habet Schol. Pindari Pyth. VIII. 1.

228. ἰθυδίκῃσι Voss. 1. Med. Bodl. ἰθυδίκοισι Gal.

231. Voss. 1. Gal. ἄκρη — μέσσῃ. Videtur Tzetzes hanc lectionem agnovisse, qui exponit ἐν ἄκρῃ, ἐν μέσῃ. Vulgata tamen lectio melior. Graevius. Et vulg. defendit Plato Rep. II. p. 363. B. Plutarch. apud Euseb. Praep. p. 86. D.

232. Versum habet Clemens Alex. Paed. III. p. 266. καταβεβριθασι Gal.

233. τοκεῦσιν Med. Vide Wyttenbach. ad Plutarch. II. p. 63. D.

235. νείσονται et in marg. γρ. νίσσονται Gal. Sed forma, quam habent edd. testibus Etymologo p. 606. 12. Eustath. Od. I. p. 1615 = 335, 50. veteribus in usu erat. Confer tamen Brunck. Apollon. Rhod. I. 53.

236. κακὴ om. Gal.

τοῖς δὲ δίκην Κρονίδης ὑπερμενέτης εὐρύοπα Ζεύς.
πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπῆυρα
ὅς τις ἀλιτραίνῃ καὶ ἐπέσσυτο μηχανάασθαι.
τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί.
οὐδὲ γυναῖκες τίκτουσιν· μινύθουσι δὲ οἴκοι,
Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου. ἄλλοτε δ' αὖτε
ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τείχος,
ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν.
Ὦ βασιλῆες, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
τήνδε δίκην· ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
ἀθάνατοι λεύσσουσιν, ὅσοι σκολιῇσι δίκῃσι
ἀλλήλους τρίβουσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες.
τρὶς γὰρ μύριοι εἰσὶν ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἀθάνατοι Ζηνὸς φύλακες θνητῶν ἀνθρώπων
οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν.
ἦ δέ τε παρθένος ἐστὶ Δίκη Διὸς ἐκγεγαυῖα,
κυδνή τ' αἰδοίη τε θεοῖς οἳ Ὀλύμπια δώματ' ἔχουσιν.

238. ἀπῆυρα. Sic Voss. 1. Med. cum Aeschine pp. 324, 525. ed. Reiske. Schol. Pindar. Pyth. III. 64. Eustath. Il. A. p. 127, 1 = 95, 43. ἐπάυρει edd. vett. et MSS. plerique.

239. ὅς κεν ἀλιτραίνῃ Aeschinis editio.

240. Bruncknius edidit ἐπήλασε e Plutarcho II. p. 1040. C. Vulg. servat Aeschines, ubi MS. unus ἔδωκε, alter μέγα πῆμα ἔδωκε.

241. ἀποφθίνουσι Gal.

245. ἀποτίνυται Bruncknius e MS. Κρονίδης τε ὑποτίνυται αὐτοῖσι Med.

246. MS. Viteberg. apud Hermannum Homer. H. Cer. p. 122. ὑμεῖς δὲ βασιλῆες καταφράζεσθε καὶ αὐτοί, unde legendum conjicit, ὑμεῖς δ' ὦ βασιλῆες, ἐπιφράζεσθε καὶ αὐτοί. In Med. diversa omnia, βῆ δ' ἴέναι μάλα δ' ἔωκα γλαυκῶπις Ἀθήνη.

248. Med. Bodl. Gal. φράζονται.

250. Vide Sextum Empiric. adv. Mathem. IX. p. 571. Clement. Alex. Protr. p. 26 = 55. Eusebium Praep. V. c. ult. Maximum Tyr. p. 163. XVII. p. 207.

251. μερόπων ἀνθρώπων Sextus — δαίμονες ἀθάνατοι φ. μερόπων ἀ. Clemens. Duo versus proxime sequentes leguntur supra 124. in alterutro loco forsitan delendi.

254. Vide Schol. Arati Phaen. 97. Eratosth. Catast. IX. Plato Legg. XII. p. 943. D. Plutarch. II. p. 781. B. Suid. v. Δίκης. Usque ad v. 260. exscripsit Stobaeus Serm. IX. p. 100.

255. Κυδνή. Sic edd. vett. et codicum pars, ut Theog. 328, 442. Athen. III. p. 116. c. probante Ruhnkenio et ad Hemsterhusium provocante in Hesych. v. Ἰάχεσιν. Graevius e Voss. 2. Bruncknius e suo MS. κυδρή, et sic Med. D. Stobaeus κεδνή.

αὐτίκα πὰρ Διὶ πατρὶ καθεζομένη Κρονίωνι
γηρύετ' ἀνθρώπων ἄδικον νόον, ὄφρ' ἀποτίσῃ
δῆμος ἀτασθαλίας βασιλέων, οἳ λυγρὰ νοεῦντες
ἄλλῃ παρκλίνουσι δίκας, σκολιῶς ἐνέποντες.
ταῦτα φυλασσόμενοι, βασιλῆες, ἰθύνετε μύθους,
δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπὶ πάγχυ λάθεσθε.
οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων,
ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.
πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας
καί νυ τάδ', αἴκ' ἐθέλῃσ', ἐπιδέρκεται, οὐδέ ἑ λήθει,
οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει.
νῦν δὴ ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
εἴην, μήτ' ἐμὸς υἱός· ἐπεὶ κακὸν ἄνδρα δίκαιον
ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.
ἀλλὰ τάγ' οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον.
Ὦ Πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσιν
καί νυ δίκης ἐπάκουε, βίης δ' ἐπιλήθεο πάμπαν.
τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων,
ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς,
ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐν αὐτοῖς·
ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη

258. ἀδίκων Gal. ἀπότισκε Med.

261. Legendum βασιλεῖς, vel saltem pronuntiandum statuit Dorvillius Crit. Vann. p. 347. Versum corruptum censet Hermannus ad Homeri H. Cer. p. 122. ἰθύνετε δίκας Med. Bar. 60. Viteb.

262. Tmesin hic esse non viderunt Hesiodi editores, ἐπιλάθεσθε πάγχυ, ut paucis interjectis βίης δ' ἐπιλήθεο πάμπαν. BRUNCKIUS.

263. οἱ θ' αὐτῷ Voss. 1. Gal. Eustath. Il. Ε. p. 522 = 395, 12. ad haec verba, Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας Ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο, Οἱ τ' αὐτῷ] Τὸ δ' οἱ τ' αὐτῷ ἀρχὴ γέγονε γνωμικοῦ, πρῶτα μὲν Ἡσιόδῳ, εἶτα καὶ Καλλιμάχῳ, τοῦ εἰπόντος ὡς ὁ τεύχων ἑτέρῳ κακὸν, ἑῷ ἤπατι τεύχει· ὃ δὴ καὶ τῷ Φερέκλῳ συνέπεσε. conf. Aristot. Rhetor. III. 9. Plutarch. S. N. V. p. 554. A.

265. Plutarchus, teste Proclo, hunc et versus sex proxime sequentes, utpote Hesiodo indignos, delevit. Hunc v. citat Schol. Arati Phaen. 1.

268. δὴ Med. Gal. Stobaeus II. p. 30. in aliis δὲ vel δ'. mox 270. Stobaeus habet ἀτιμότερος.

271. Voss. 1. Δία μητιόεντα cum Gl. βουλευτικὸν, et sic Gal.

275. πετεηνοῖς Ambo Voss. et alii, credo, MSS. Porphyr. de Abstin. I. 5. Plutarch. de Anim. Solert. p. 964. B. Sext. Empiric. adv. Mathem. II. p. 295. Clemens Alex. Strom. I. p. 427. Aelian. H. A. VI. 50. πετεεινοῖς Pr. Ald. Trinc.

276. ἔσθεμεν Clemens. ἐν αὐτοῖς Med. Gal. cum Aeliano, et Stobaeo Ecl. Phys. I. p. 8. μετ' αὐτοῖς Plutarch. Sextus. μετ' αὐτῶν Porphyrius, Clemens. ἐπ' αὐτοῖς edd.

γίνεται. εἰ γάρ τις κ' ἐθέλῃ τὰ δίκαι' ἀγορεύειν
γινώσκων, τῷ μέν τ' ὄλβον διδοῖ εὐρύοπα Ζεύς·
ὃς δέ κε μαρτυρίῃσιν ἑκὼν ἐπίορκον ὀμόσσας
ψεύσεται, ἐν δὲ δίκην βλάψας, νήκεστον ἀάσθη,
τοῦδέ τ' ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται·
ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.
σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω, μέγα νήπιε Πέρσα.
τὴν μέντοι κακότητα καὶ ἰλαδόν ἐστιν ἑλέσθαι
ῥηϊδίως· λείη μὲν ὁδὸς, μάλα δ' ἐγγύθι ναίει.
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν,
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηαι,
ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.
οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσει,

278. ἐθέλει Gal. ἀγορεύσαι Med. mox 282. τοῦδ' ἔτ' Gal.

281. Frustra Guietus ἠδὲ. Vide Dorvillium ad Charit. p. 126 = 275.

285. Confer Oraculum apud Herodot. VI. 86. Suid. v. Εὐόρκου.

285 — 290. Locus amplissimis antiquorum testimoniis celebratus; vide Xenoph. Mem. II. 1. 20. Platon. Rep. II. p. 364. C. D. Legg. IV. p. 718. E. Stobaeum I. p. 2. Lucianum Hermot. 2. T. I. p. 742. 25. p. 764. Parasit. I. p. 852. Hunc versum habent Plutarch. de Aud. Poet. p. 24. F. Schol. Euripid. Hippol. 380. Eustath. Il. B. p. 179 = 135. ult. Τοῦ δὲ ἰλαδὸν χρῆσις καὶ παρ' Ἡσιόδῳ. Πρωτότυπον αὐτοῦ ἡ ἴλη, ὃ σημαίνει τὴν τάξιν· καὶ πάλαι μὲν ἡ ἴλη καὶ τὸ ἰλαδὸν διὰ τῆς εἰ διφθόγγου εἰχετὴν ἄρχουσαν, ὡς ἀπὸ τοῦ εἰλῶ τὸ συστρέφω· ἐξ οὗ καὶ τὸ πέδειλον· ὕστερον δὲ οὐχ ὁμοίως, ἀλλ' ἐν τῷ ι αὐτοῖς ἡ γραφή. Τὴν μὲν γὰρ Xenophon, Plutarch, Schol. Eurip. Ὡς τὴν μὲν Plato.

286. λείη. Sic Xenophon, Plato, Stobaeus p. 28. Plutarch. πῶς ἄν τις αἴσθοιτο p. 77. D. Edd. MSS. ὀλίγη.

287. Plutarch. II. p. 24. D. Schol. Euripid. Med. 296. Hippol. ubi supra. Pindar. Ol. VI. 14. IX. 161.

288. ἐς αὐτὴν Med. Plato. Lucian. II. p. 852. Schol. Aphthonii apud Bast. ad Gregor. de Dial. p. 105. ἐπ' αὐτὴν vulgo cum Xenophonte, Stobaeo, Lucian. I. p. 764.

289. ἵκηαι. Ita Heinsius aliique, quomodo diserte legitur in duobus codd. Platonis, Vossiani nempe, et Parisiensis, cujus excerpta nactus sum. Pro vulgato ἵκηται stant Xenophon, et Stobaeus, quae lectio, subaudito τις, satis commoda videri potest; sed alterum usitatius credo. Vide Brunckium ad Sophocl. Trachin. 2. [Sed confer Platonem in Protag. p. 340. D. H. St. *Ex Addendis.*]

290. MSS. tres Platonis ἤπειτα φέρειν.

291. αὐτὸς restituerunt viri docti ex Aristot. Eth. Nic. I. 4. Clement. Alex. Paed. III. 8. (ubi tamen MSS. et Ed. Flor. αὐτῷ) Aristidis MSS. II. p. 26. Themistio VIII. p. 108. D. Diogene Laertio VII. 25. Edd. vett. MSS. αὐτῷ, vel αὐτῷ, cum Schol. Sophocl. Antig. 718. Ammonio v. οὗτος. Stobaeo Serm. II. et III. cf. Eustath. Il. B. p. 238 = 180, 30. Loca similia ex scriptoribus antiquis collegit Gatakerus ad M. A. IV. 12. p. 101.

[φρασσάμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω.]
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
ὃς δέ κε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὅδ' αὖτ' ἀχρήϊος ἀνήρ.
ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς
ἐργάζευ, Πέρση, Διὸν γένος, ὄφρα σε λιμὸς
ἐχθαίρῃ, φιλέῃ δὲ σ' εὐστέφανος Δημήτηρ
αἰδοίη, βιότου δὲ τεὴν πίμπλῃσι καλιήν.
λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὃς κεν ἀεργὸς
ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὀργήν,

292. Non agnoscitur hic versus ab omnibus illis antiquis Scriptoribus, quos hoc loco usos esse diximus, nisi ab Aristotele. In vetustis tamen codd. fertur desiderari. Sane nec Eustratius, qui reliquos exponit, hujus meminit, ut et alii prisci Aristotelis interpretes. Nec Latinis fuit cognitus, qui hunc locum in sua transtulerunt scripta. Liv. XXII. *Saepe ego audivi milites eum primum esse virum qui ipse consulat quid in rem sit; secundum eum qui bene monenti obediat: qui nec ipse consulere nec alteri parere sciat esse extremi ingenii.* Cicero in Cluent. *Sapientissimum esse dicunt eum, cui, quod opus sit, veniat in mentem; proxime accedere illum, qui alterius bene inventis obtemperet.* Hesiodi tamen Graeci interpretes in suis libris illum invenerunt, ut ipsorum declarant explicationes. Hinc vero apparet non heri aut nudiustertius, sed ante multa saecula hunc versum esse Hesiodo subjectum. Suppositititium enim esse et Poeta indignum ego quidem nullus dubito. GRAEVIUS.

293. Schol. Venet. ad Il. O. 203. στρεπται μεν τε φρενας εσθλων· στρεπται προς τα εσθλα, φαυλων δε προς τα φαυλα. Εν βραχει δε το Ἡσιοδου περιειληφεν· εσθλος δ' αὖ κ. ο. ε. ε. π.

294. αὐτῷ et hic edd. vett. et nisi fallor MSS. Ἀκούων ἐν θυμῷ βάλληται idem est interprete Graevio, ac ἀκουειν ἐν θυμῷ β. *neque alii parere in animum induat.*

[295. Recte Schaeferus ὁ δ'. Monuit etiam Iacobsius ad Antholog. Palat. vol. III. p. 11. et h. l. et infra v. 361. ED. LIPS.]

297. Διὸν conjecturam Sevini Hist. Acad. Inscr. T. III. p. 122. e Suida et Procli Prolegom. ined. confirmavit Ruhnkenius ad Velleium Paterculum p. 26. Sed vulgatum, a Plutarcho II. p. 1047. E. F. Cornuto inter Opuscula Galei p. 211. conservatum, donec certius quid statuatur, retinere malui.

298. σ' ex edd. quibusdam excidit. Deinde MS. Cornuti ἐυπλόκαμος.

300. Huc pertinet Hesychii glossa ut Sopingius vidit: Σύμφορος λιμός· ὁ συμπίπτων, καὶ συνών. Theogon. 593. Οὐλομένης πενίης οὐ σύμφορα, ἀλλὰ κόροιο. Ab Hesiodo locutionem, quanquam deflexa significatione, sumsit Theognis v. 526. ἡ πενίη δὲ κακῷ σύμφορος ἀνδρὶ φέρειν. RUHNKENIUS. [Vid. schol. Victor. ap. Heyn. ad Homer. vol. VI. p. 634. ED. LIPS.]

302. εἴκελος ὀργήν. Ita Etymologus M. p. 524, 42. Zonaras pag. 1227. Schol. Platon. Legg. X. p. 237. et Tzetzes probante Ruhnkenio. Edd. MSS. cum Schol. Aristophan. Vesp. 1109. Stobaeo Serm. XXX. p. 210. ἴκελος (vel εἴκελος) ὁρμήν.

οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες· σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί.
ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε·
καί τ' ἐργαζόμενος, πολὺ φίλτερος ἀθανάτοισιν
ἔσσεαι, ἠδὲ βροτοῖς· μάλα γὰρ στυγέουσιν ἀεργούς.
ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.
εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς
πλουτεῦντα· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.
δαίμονι δ' οἷος ἔησθα· τὸ ἐργάζεσθαι ἄμεινον,
εἴ κεν ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμὸν
εἰς ἔργον τρέψας, μελετᾷς βίου, ὥς σε κελεύω.
[αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,

303. Stobaeus p. 210. κάματον νήποινον ἔδουσι, et paullo supra ὅστις ἀεργός.

306—311. Stobaeus Serm. XXIX. p. 198. ubi ἐξ ἔργων τ' — 308. deest. et Med. ἀεργὸν Trinc. Coisl. Aug. marg.

309. Priora citat Plato Charmid. p. 163. B. Totum versum Xenophon. Mem. I. 2, 56. Eustath. Il. B. p. 250 = 190, 9. σημείωσαι δὲ ὅτι τὸ ἔργον ὃ δὴ θεὸς ἐγγυαλίξει, πάνυ ἀσφαλέστερόν ἐστι τοῦ, Ἔργον δ' οὐδὲν ὄνειδος, ὃ δή φησιν Ἡσίοδος. Ἐκεῖνο μὲν γὰρ ἀσαφῶς γραφὲν, ἔβλαψε τὸν σοφὸν Σωκράτην· ὃς εἰωθὼς λέγειν συχνὰ τὸ, ἔργον δ' οὐδὲν ὄνειδος, ἤγουν, οὐδέν τι ἐστὶν ὄνειδος τὸ ἐν ἔργοις ἀγαθοῖς ἐμπαίεσθαι, συκοφαντίᾳ περιέπεσεν, οἷα δογματίζων, ὡς ἔργον οὐδὲν, ἤγουν οὐδεμία ἐργασία κἄν τε φαύλη, κἄν τε χρηστὴ, ὄνειδός ἐστι τῷ ἐργαζομένῳ, κἀντεῦθεν ἐβλάβη ὡς ἀδιαφορῶν περὶ τὰς πράξεις. Καὶ οὕτω Ἡσίοδος ἔγραψεν ἀδιάρθρωτα. Insignis est in Pr. Junt. 1. typogr. error, οὐδρὺ ὄνειδος. Mox Pr. Ald. ζηλώσει κἀεργός.

315. Hunc versum, sicut et proxime sequentem, ex Homero insertum esse Plutarchi testimonio confirmat Proclus. Sciendum est autem hosce duos non eodem loco haberi apud Homerum (nisi me memoria fallit) sed priorem Odyss. P. et quidem paullo aliis verbis, posteriorem Il. Ω. Ita enim legimus Od. P. 345. αὐτόν τε κέλευε Αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας. Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ προΐκτῃ, (Vel, ut quaedam edd. habent, quarum est Florentina) κεχρημένῳ ἀνδρὶ παρεῖναι. At Il. Ω. 44. Ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν· οὐδέ οἱ αἰδὼς Γίνεται, ἥτ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι. Quem posteriorem versum hic videmus sine ulla mutatione esse servatum. Sed ad priorem quod attinet, qui fit, dicet aliquis fortasse, si et ipse ex Homerico poemate in Hesiodeum irrepsit, ut non κεχρημένῳ ἀνδρὶ προΐκτῃ vel κεχρημένῳ ἀνδρὶ παρεῖναι, sed κεχρημένον ἄνδρα κομίζει scriptum sit? Hic certe quod affirmem nihil habeo; sed non deest quod suspicer: hoc nimirum, quum prius appositus margini esset versus Homeri iisdem quibus apud eum legitur verbis, postea quempiam legentem apud Hesiodum infra v. 498. Ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει, idem loquendi genus adhibere voluisse et illi versui, et ita verba Homeri mutasse. H. Steph. Plato Lach. p. 201. B. τὸν Ὅμηρον δοκεῖ μοι χρῆναι προβάλλεσθαι· ὃς ἔφη, οὐκ ἀγαθὴν εἶναι αἰδῶ κεχρημένῳ

αἰδὼς, ἥτ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι.]
αἰδώς τοι πρὸς ἀνολβίην, θάρσος δὲ πρὸς ὄλβον·
χρήματα δ' οὐχ ἁρπακτά· θεόσδοτα πολλὸν ἀμείνω.
εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
ἢ ὅγ' ἀπὸ γλώσσης λήϊσσεται, (οἷά τε πολλὰ
γίνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
ἀνθρώπων, αἰδὼ δέ τ' ἀναιδείῃ κατοπάζῃ)
ῥεῖα τέ μιν μαυροῦσι θεοὶ, μινύθουσι δὲ οἶκοι
ἀνέρι τῷ, παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ,
ἶσον δ' ὅς θ' ἱκέτην ὅς τε ξεῖνον κακὸν ἔρξει·
ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνει,
κρυπταδίης εὐνῆς ἀλόχου, παρακαίρια ῥέζων·
ὅς τέ τευ ἀφραδίῃς ἀλιταίνεται ὀρφανὰ τέκνα·
ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
νεικείῃ χαλεποῖσι καθαπτόμενος ἐπέεσσιν.
τῷ δή τοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν
ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.
ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεσίφρονα θυμόν·
καδδύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν
ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν·
ἄλλοτε δὴ σπονδῇσι θύεσσι τε ἱλάσκεσθαι,

ἀνδρὶ παρεῖναι. ubi Schol. in MS. Clark. ἡσιόδου τὸ ῥητόν· πῶς δὲ ὁ σοφὸς ὁμήρου εἴρηκεν ἀγνοῶ. vv. 315 — 318. habet Stob. XXIX. p. 198. Vide Suidam v. Αἰδώς.

316. Hunc v. margini adscriptum habet Med. Voss. 1. ἠδ'. Voss. 2. ἥτ'. Legendum conjicit Graevius Αἰδὼς ἠδ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι.

317. ἀνολβίην (vel ἀνολβίαν) — ὄλβον Vossiani et Palatinus cum Tzetze et Stobaeo. Alii ἀνολβίῃ — ὄλβῳ, cum Eustath. Od. Θ. p. 1606 = 322, 40.

318. Habet Stobaeus X, p. 127.

322. Voss. 1. Gal. αἰδὼς δ' ἔτ' ἀναιδίῃ κατοπάζῃ. Alii αἰδὼς δέ γ' ἀναιδείῃ κατοπάζῃ. Med. αἰδὼς — κατοπάζει. Vulgatam interpretatur Graevius, "Pudorem vero cum "impudentia vicerit. Ὀπάζειν et "κατοπάζειν est sequi jubere, ut "victores solent victos, aut domini "jubere solent servos sequi."

323. ῥεῖα δέ μιν Med. D. Ac. Trinc. Schol. Pind. Isthm. IV. 81.

324. παυροῖσί τ' ἐπὶ R. S.

326. βαίνει. Sic MS. apud Brunck. Aug. Ac. D. E. Editum erat βαίνοι.

327. Etymolog. M. p. 654, 5. παρακαίρια ῥέζων· Ἡσίοδος. Καίρια τὰ εὐκαίρως γινόμενα· παρακαίρια, τὰ ἄκαιρα, καὶ σαπρὰ καὶ ἄτοπα.

328. ἀλιταίνεται Ald. Trinc. Voss. 2. Pal. et alii cum Etymolog. M. p. 65, 6. Edd. et MSS. quidam ἀλιτραίνεται. Etymologus etiam habet ἀφραδία.

331. τῷ δ' ἤτοι e MS. Viteberg. Hermannus ad Homeri Hymn. Ven. p. 105.

334. Vide Xenophon. Mem. I. 3, 5.

336. σπονδῇς θύεσσι τε edd. recent.

ἡμὲν ὅτ' εὐναίῃ, καὶ ὅταν φάος ἱερὸν ἔλθῃ·
ὥς κέ τοι ἵλαον πραπίδην καὶ θυμὸν ἔχωσιν·
ὄφρ' ἄλλων ἀνῇ πλῆρον, μὴ τὸν τεὸν ἄλλος.
τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι·
τὸν δὲ μάλιστα καλεῖν, ὅς τις σέθεν ἐγγύθι ναίει,
εἰ γάρ τοι καὶ χρῆμ' ἐγκώμιον ἄλλο γένοιτο,
γείτονες ἄζωστοι ἔασιν, ζώσαντο δὲ πυοί.
πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ,
ἔμμορέ τοι τιμῆς, ὅς τ' ἔμμορε γείτονος ἐσθλοῦ.
οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.
εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι,
αὐτῷ τῷ μέτρῳ, καὶ λαΐον, αἴκε δύνηαι·
ὡς ἂν χρηίζων καὶ ἐς ὕστερον ἄρκιον εὕρῃς.
μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἄτῃσιν.
τὸν φιλέοντα φιλεῖν, καὶ τῷ προσιόντι προσεῖναι·
καὶ δόμεν ὅς κεν δῷ, καὶ μὴ δόμεν ὅς κεν μὴ δῷ.

340. Citat Plutarch. II. p. 530. D. 707. C. Eustath. *Il. I.* p. 778, 24 = 688, 24. Schol. Victor. apud Heyne T. VII. p. 775.

341. Athenaeus V. p. 186. F.

342. *ἐγκώμιον* Ruhnkenii monitu ex Stephano Byzantino v. *κώμη* restitutum, adstipulantibus Proclo, Hesychio, et Suida, qui explicant per *ἔνδημον*. Stephano etiam debetur *γένοιτο*. Edd. MSS. *ἐγχώριον — γένηται* —

343. Citat Schol. Pindar. Nem. VII. 127.

344. 345. Stobaeus Serm. II. p. 30. ubi *ὅς κ' ἔμμορε*.

346. Heraclides in Rep. Cumaeorum Thes. Gronov. T. VI. p. 2828. *ἔθος ἦν αὐτοῖς εἰς τὰ κλοπιμαῖα συμβάλλεσθαι τοὺς γείτονας, διὸ καὶ ὀλίγα ἀπόλλυνται· πάντες γὰρ ὁμοίως ἐτήρουν. Καὶ Ἡσίοδος ἐντεῦθεν δοκεῖ λέγειν, Οὐκ ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.* Citat Plutarchus Aud. Poët. p. 34. B. conf. Aelian. V. H. IX. 28.

347. Vid. Schol. Aristoph. Acharn. 1020. Ammonius v. *μετρεῖσθαι*.

348. Versu usus est Cicero Ep. ad Attic. XIII. 12. Huc alludunt Lucianus Imagg. c. 12. T. II. p. 470. Synesius p. 264. A. Prorsus abest a Gal.

350. V. Stobaeus Serm. X. p. 127. Artemidorus Oneirocrit. IV. 61. p. 237.

351. Proclus: *τὸν φιλέοντα φιλεῖν. Τούτους ὁ Πλούταρχος ἐκβάλλει τοὺς στίχους. Ὁ γὰρ μέλλων λέγειν ὅτι τοῖς ἀγαθοῖς τὸ διδόναι προσήκει, καὶ ὡς χαίρουσι διδόντες, ἄτοπος ἂν εἴη λέγων καὶ διδόναι τῷ διδόντι, καὶ μὴ διδόναι τῷ μὴ διδόντι· οὕτω γὰρ ἂν τὰς δόσεις ἀναγκαίας ἐποίει, καὶ οὐ δὲ προκαθηγουμένας τῶν εὐεργεσιῶν ἐξέκοψεν.*

Ibid. Grammaticus in marg. MS. Reg. *προσεῖναι* accipit pro *προσιέναι*, secutus Apollonium Lex. Hom. *Εἶναι ὁ Ἡσίοδος ἀντὶ τοῦ ἰέναι· καὶ τῷ προσιόντι προσεῖναι.* Tzetzen etiam sic cepisse, ex ejus interpretatione colligas, *τῷ προσιόντι καὶ εὐόμιλον γνώμην ἔχοντι, προσλεσθαι*. Sed non opus est huc confugere. *Προσεῖναι* hic ponitur, ut *adesse* apud Latinos. Ruhnkenius.

352. V. Suidas v. *δόμεν*.

δώτη μέν τις ἔδωκεν, ἀδώτη δ' ὅτις ἔδωκεν.
δὼς ἀγαθὴ, ἅρπαξ δὲ κακὴ, θανάτοιο θάμιστα.
ὃς μὲν γάρ κεν ἑκὼν ἀνὴρ ἐθέλων, ὅτε κεν μέγα δώῃ,
χαίρει τῷ δώρῳ, καὶ τέρπεται ὃν κατὰ θυμόν·
ὃς δέ κεν αὐτὸς ἕληται, ἐναισίμῳ πιθήσας,
καί τε σμικρὸν ἐὸν, τό γ' ἐπάχρωσεν φίλον ἦτορ.
εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
καὶ θαμὰ τοῦθ' ἕρδοις, τάχα κεῖ μέγα καὶ τὸ γένοιτο.
ὃς δ' ἐπ' ἐόντι φέρει, ὃ δ' ἀλύξεται αἶθοπα λιμόν.
οὐδὲ τόγ' εἶν οἴκῳ κατακείμενον ἀνέρα κήδει.
οἶκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύραζε.
ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι, πῆμα δὲ θυμῷ
χρηίζειν ἀπεόντας, ἅ σε φράζεσθαι ἄνωγα.
ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι,
μεσσόθι φείδεσθαι· δειλὴ δ' ἐπὶ πυθμένι φειδώ.
μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἅρκιος ἔστω.
καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.

354. Suidas v. *Δώς*. Etymolog. M. p. 293, 48. qui versum praeced. habet paullo infr. 55.

355. Graevius e Voss. 2. et Proclo *καὶ μέγα δοίη*.

358. *καί νοι* Gal. Deinde *τό γ'* Gal. Med. Aug. E. Suidas, Stobaeus MS. apud Brunckium; edd. *τό τ'*. Male etiam edd. quaedam in fine *φίλον κῆρ*. Suidas, *Ἐπάχρωσεν, ἐλύπησεν, ἔφθειρεν. Μεταφορὰ ἀπὸ τῆς πάχνης, τῆς φθειρούσης, καὶ λύπην ἐμποιούσης τοῖς φυτοῖς*. Conf. Etymolog. M. p. 667, 1. Eustath. Il. P. p. 1097, 57 = 1130, 40.

359. *σμικρῷ*. Sic ambo Palatini, Voss. Med. cum Platone Cratyl. p. 428. A. Plutarcho Lib. Educ. p. 9. E. Eustath. Il. Δ. p. 838, 62. *σμικρὸν* edd. vett.

360. MSS. Thomae Mag. v. *Θαμὰ*, cum Med. *ἕρδεις*. Med. etiam *τοῦτο*.

363. *βέλτιον* Gal. v. Homer. H. Mercur. 56.

366. Conf. Plutarch. Sympos. III. 7. Macrob. Sat. VII. 12.

367. *δειλὴ*. Sic Vossiani, Gal. et Med. Alii *δεινή*. Elementa Δ et Ν saepenumero permutari docuit Dorvillius ad Chariton. p. 235 = 344.

368—370. Hi versus desunt Med. Voss. 1. Proclus: *τούσδε τινες τοὺς στίχους ἐξέβαλον· ὁ δὲ Πλούταρχος ἐμμένει*. Vide Vitam Thesei p. 2. Et legisse videtur Aristoteles Ethic. Eudem. VII. 10. *Ἔστι δὲ τῆς χρησίμου φιλίας εἴδη δύο· ἡ μὲν νομική, ἡ δὲ ἠθική. Βλέπει δ' ἡ μὲν πολιτικὴ εἰς τὸ ἴσον καὶ τὸ πρᾶγμα, ὥσπερ οἱ πωλοῦντες καὶ οἱ ὠνούμενοι· διὸ εἴρηται, Μισθὸς ἀνδρὶ φίλῳ.*

369. Plutarch. de Vitioso Pudore II. p. 533. B. *ὁ δὲ Περσαῖος ἀργύριον τινὶ τῶν γναρίμων δανείζων, δι' ἀγορᾶς καὶ τραπέζης ἐποιεῖτο τὸ συμβόλαιον· μεμνημένος δηλονότι τοῦ Ἡσιόδου, λέγοντος, Καὶ τὰ κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι — Θαυμάσαντος δὲ ἐκείνου καὶ εἰπόντος, Οὕτως ὦ Περσαῖε νομικῶς; Ναὶ, εἶπεν, ἵνα φιλικῶς ἀπολάβω, καὶ μὴ νομικῶς ἀπαιτήσω.*

πίστεις δ' ἄρα ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.
μηδὲ γύνη σε νόον πυγοστόλος ἐξαπατάτω,
αἱμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν.
ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅγε φηλήτῃσι.
μουνογενὴς δὲ πάϊς εἴη πατρώϊον οἶκον
φερβέμεν· ὣς γὰρ πλοῦτος ἀέξεται ἐν μεγάροισι.
γηραιὸς δὲ θάνοις ἕτερον παῖδ' ἐγκαταλείπων.

370. πίστεις δ' ἄρ τοι ὁμῶς Guietus. Sed ἄρα defendit Dorvillius Crit. Vann. p. 227.

371. Πυγοστόλος ex h. l. citat Pollux II. 184. Suidas Πυγοστόλος· προαγωγὸς, μαυλίστρια. Etymolog. M. p. 695, 31. similia iis protulit, quae apud Proclum leguntur. Hunc v. et seq. habent Stobaeus LXXXIII. p. 483. Clemens Alexandr. Cohort. p. 91. ubi νόον.

372. V. Etymolog. M. p. 35, 29.

373. φηλήτῃσι magna pars codicum, Hesych. forsan ex h. l. φηλήτῃσι, λησταῖς. Vulgo cum Stobaeo LXXI. p. 433. φιλήτῃσι. Eustath. Il. B. p. 194 = 147, 20. Τὸ δὲ ταύτας ὑφέλκειν ἐν τῷ μέλλειν ἀποπλέειν τὴν νῆα, ὑφαιρεῖν λέγει ὁ ποιητής. Οἱ δὲ μεθ' Ὅμηρον, ἐπὶ τοῦ κλέπτειν τιθέασι τὴν λέξιν, ὡς καὶ τὸ ὑφελέσθαι· ἀφ' οὗ καὶ τὸν φιλήτην παράγουσί τινες τῶν παλαιῶν σχολιαστῶν Ἡσιόδου, ἵνα ᾖ φιλήτης ὁ παρ' Ἡσιόδῳ μὴ ἀπὸ τοῦ φηλῶ φηλήσω τὸ ἀπατῶ· αὐτὸ γὰρ τρίτης ἐστὶ συζυγίας, ὡς δηλοῖ παρὰ Λυκόφρονι τὸ, φηλώσας πρόμον· ἀλλὰ ὁ κλέπτης, παρὰ τὸ ὑφελεῖν, οἱονεὶ ὑφειλήτης διὰ διφθόγγου, καὶ ἀφαιρέσει τοῦ υ καὶ ἀπελεύσει τοῦ ε, φιλήτης διὰ τοῦ ι. ὡς ἂν τῷ σημαινομένῳ τοῦ ὑφειλήτου συνεξομοιωθῇ καὶ ἡ γραφὴ τῆς λέξεως, ὑποκλαπεῖσά τι τῆς διφθόγγου, ὡς καὶ τοῦτο δοκεῖ τοῖς παλαιοῖς. Rursus ad Il. I. p. 781 = 692, 26. καὶ τὸ, πέποιθ' ὅγε φηλήτῃσιν, οὐ διὰ τοῦ η ἔχει τὴν ἄρχουσαν ἐν τοῖς ἀκριβέσιν ἀντιγράφοις, ἀλλὰ διὰ τοῦ ἰῶτα, καὶ δηλοῖ οὐκ ἀπατεῶνα, ὡς ἀπὸ τοῦ φηλεῖν, ἀλλὰ κλέπτην, παρὰ τὸ ὑφελεῖν. Cf. ad Od. T. p. 1889 = 730, 30. Citatur a viris doctis Helladius apud Photium in Bibl. κατ' εὐφημισμὸν οἱ Ἀττικοὶ τὸν κλέπτην φιλητὴν λέγουσι· οἱονεὶ μισητόν· ἢ καὶ φιλητὴς ὁ κλέπτης, διότι φιλεῖ λαμβάνειν τὰ ἀλλότρια. Et sane extat φιλήτης in omnibus quae ad manum sunt edd. Aeschyli Choeph. 999. Seneca Epist. 51. *Voluptates praecipue exturba, et invisissimas habe, latronum more, quos* Philetas *Aegyptii vocant.* Φιλήτης etiam agnoscunt Lexicographi veteres. Sed quum satis pro comperto sit v. φίλος et derivativa (si ab Homerico φίλε κασίγνητε, quod huc trahi nolim, recesseris,) primam nunquam producere, eorum sententiam praetuli, qui φηλήτῃσι patrocinantur. In talibus manuscriptorum perexigua est auctoritas, quum liquido constet, litteras η et ι ab antiquis temporibus saepissime permutari. In Homer. H. Mercur. 446. φηλῆτα tacite dedit Hermannus. Scaliger ad Festum v. *Pilare*, Φιλητὴς *Hesiodo*, *et* πιλητὴς *Aeolice*. Priora versus habet Schol. Euripid. Med. 426.

374. μουνογενὴς δὲ πάϊς εἴη Med. Voss. 1. D. pro v. l. cum Eustath. Il. Z. p. 649, 32 = 512, 7. Vulgo, μ. δ. π. σώζοι quod habet Gal. ex emend. Versuum 375, 376. mutato ordine sententiae ἀκολουθίαν restitui posse censebat Heinsius, cui Graevius et Brunckius adstipulantur. Et nescio an talem transpositionem indicare velit librarius in cod. Med. e quo v. seq. enotatur pro v. l. ἀμφέρβεμεν. Μονογενὴς citat Pollux III. 19.

ῥεῖα δέ κεν πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον.
πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη·
σοὶ δ' εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶν ᾗσιν,
ὧδ' ἔρδειν, ἔργον δέ τ' ἐπ' ἔργῳ ἐργάζεσθαι.

ΠΛΗΙΑΔΩΝ Ἀτλαγενέων ἐπιτελλομενάων
ἄρχεσθ' ἀμητοῦ· ἀρότοιο δὲ, δυσομενάων.
αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
φαίνονται, τὰ πρῶτα χαρασσομένοιο σιδήρου. [5]
οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα,
πόντου κυμαίνοντος ἀπόπροθι, πίονα χῶρον
ναίουσιν. γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν,

379. σοῖσιν Voss. 1. σῇσι Voss. a. sed ᾗσιν vel ᾗσι major codicum pars.

380. καὶ ἔργον ἐπ' ἔργῳ MSS. Robinsoni, Med. Gal.

381. Nescio quo judicio vulg. edd. hunc librum secundum Hesiodi constituant, quum si hic sit initium secundi, illud Ἤματα δ' ἐκ Διόθεν πεφυλαγμένος tertii initium esse oporteat: quod tamen illae dicere ausae non sunt, licet et hanc partem a praecedentibus distinguentes. Ego certe, considerans titulum hujus opusculi esse Ἔργα καὶ Ἡμέραι, et ita in duas duntaxat esse partes divisum, illis editionibus assentiri non potui quae librum secundum hinc incipere volunt: (nam alioqui tres esse libros necesse foret opusculi in duas tantum partes divisi, uti dixi) sed satis esse putavi si literis majusculis ostenderem poëtam ad alterum prioris libri membrum transire. Quum enim antea hortatus sit fratrem ad suscipiendos labores, praesertim rusticos, multa interim salubria ad instituendam vitam consilia admiscens; nunc de iis et in tempore et certa arte suscipiendis praecepta tradit: adeo ut quae praecedunt ad hunc usque locum, veluti praefationis cujusdam vicem obtinere videri possint. H. Steph.

Ibid. Gregorius de Dialect. Aeol. §. 2. Ἀτλαγεννάων, ubi Koënius: „In Hesiodo Opp. et D. „editur ἀτλαγενέων neque aliter „citant M. Tyrius Diss. XXX. 6, „p. 363. Athenaeus XI. p. 459. „F. Quod si secunda in Ἀτλαγε„νὴς corripi posse censeatur, ve„ram scripturam Grammaticus „videri queat custodivisse: inpri„mis cum Ἀτλαγενάων agnoscat „praeter Aeschyli Schol. Prom. „428. etiam Homeri ad Il. Σ. 486." Schol. Ven. ad Il. Σ. 486. Ἀτλη-γενέων et in proximis ἀρότροιο δὲ δυσσομενάων. Ad Il. T. 221. ἄρχεσθ' ἀμητοῖο. Reliqua versus de-

ε

sunt. Ἀτλαγενάων Gal. Aug.

382. δυσομενάων. Perperam vulgo σ geminatur. Vide Eustath. Il. T. p. 1169, 57 (= 1231, 30)

α

Brunckius. δυσσομενάων Gal.

383. αἵ δ' ἤτοι, ut edd. Pr. Junt. Hermannus ad Homer. H. Ven. p. 105.

384. αὖθις Aug.

387. Vossiani ναιετάωσ' et infra ναίωσ'.

389. ναίωσ' γυμνὸν δὲ σπείρειν Gal.

γυμνὸν δ' ἀμᾶσθαι, εἴ χ' ὥρια πάντ' ἐθέλῃσιν
ἔργα κομίζεσθαι Δημήτερος· ὥς τοι ἕκαστα
ὥρι' ἀέξηται, μή πῃ τὰ μετᾶξυ χατίξων
πτώσσῃς ἀλλοτρίους οἴκους, καὶ μηδὲν ἀνύσσῃς.
ὡς καὶ νῦν ἐπ' ἐμ' ἦλθες· ἐγὼ δέ τοι οὐκ ἐπιδώσω,
οὐδ' ἐπιμετρήσω· ἔργάζευ, νήπιε Πέρση,
ἔργα, τά τ' ἀνθρώποισι θεοὶ διετεκμήραντο,
μήποτε σὺν παίδεσσι γυναικί τε θυμὸν ἀχεύων,
ζητεύῃς βίοτον κατὰ γείτονας, οἱ δ' ἀμελῶσιν.
δὶς μὲν γὰρ καὶ τρὶς τάχα τεύξεαι· ἢν δ' ἔτι λυπῇς,
χρῆμα μὲν οὐ πρήξεις, σὺ δ' ἔτι πλέον ἀγορεύσεις
ἀχρεῖος δ' ἔσται ἐπέων νομός· ἀλλά σ' ἄνωγα
φράζεσθαι χρειήν τε λύσιν, λιμοῦ τ' ἀλεωρήν.

Οἶκον μὲν πρώτιστα, γυναῖκά τε, βοῦν τ' ἀροτῆρα,
κτητήν, οὐ γαμετήν, ἥτις καὶ βουσὶν ἕποιτο·
χρήματα δ' ἐν οἴκῳ πάντ' ἄρμενα ποιήσασθαι,
μὴ σὺ μὲν αἰτῇς ἄλλον, ὁ δ' ἀρνῆται, σὺ δὲ τητᾷ,
ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δέ τοι ἔργον.
μήθ' ἀναβάλλεσθαι ἐς τ' αὔριον, ἐς τ' ἔννηφιν·
οὐ γὰρ ἐτησιοεργὸς ἀνὴρ πίμπλησι καλιὴν,
οὐδ' ἀναβαλλόμενος· μελέτη δέ τοι ἔργον ὀφέλλει.
αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.

[10] 390
[15] 395
[21] 401
[25] 405
[30] 410

390. ἀμάειν Med. Voss. 1. Pal. cum Proclo. Ceteri fere omnes ἀμᾶσθαι.

395. ἀνύσσῃς Gal. et mox 400. πράξεις.

401. ἔσσεται Gal. et τ' om. mox 403.

403. γυναῖκα. Non intelligit uxorem, sed ancillam. Aristoteles in Oeconomicis falsus est memoria, cum hoc versu putat absolutam sententiam contineri, et γυναῖκα putat esse γαμετήν. Scaliger. v. Aristot. Polit. I. 2. [ubi vid. Schneider. in annot. p. 8. Ed. Lips.] Oecon. II. 2. Lucian. Navig. 20. T. III. p. 261.

404. Muretus ad Aristot. Oecon. Opp. T. III. p. 478. hunc versum sedulo arguit, improbante Graevio.

406. ἀρνεῖται Gal. Pr. De τητᾷ, v. Etymolog. M. p. 757, 51.

408. [Vid. Grammat. MS. ap. Osann. ad Phileuton. p. 241. Ed. Lips.] εἰς αὔριον Zonaras p. 1155. Vocem ἔννηφι citat Pollux I. 66. Athenaeus III. p. 100. B. αὔριον δὲ ἡ ἔννηφι· τὴν γὰρ τρίτην Ἡσίοδος εἴρηκεν οὕτως. v. et XIV. p. 653. D.

409. Etymolog. M. p. 485, 55.

410. Malim μελέτη τοι, deleto δὲ, cum Schol. Pindari Isthm. VI. 97. Vulgatum tamen extat ibid. Nem. VI. 91.

411. Zonaras p. 142. ἄτῃσι πρὸς παλαίει. Versum adhibent Ammonius in Categ. p. 67. ed. Ald. fol. 1505. Simplicius ad Epictet. c. LXXV. p. 525. ed. Heins. Eustath. Il. B. p. 250 = 190, 8.

Ἦμος δὴ λήγει μένος ὀξέος ἠελίοιο
καύματος ἰδαλίμου, μετοπωρινὸν ὀμβρήσαντος
Ζηνὸς ἐρισθενέος, μετὰ δὲ τρέπεται βρότεος χρὼς
πολλὸν ἐλαφρότερος· (δὴ γὰρ τότε Σείριος ἀστὴρ [35] 415
βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ.)
ἦμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ
ὕλη, φύλλα δ' ἔραζε χέει, πτόρθοιό τε λήγει·
τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥριον ἔργον. [40] 420
ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν,
ἄξονα δ' ἑπταπόδην· μάλα γάρ νύ τοι ἄρμενον οὕτω·
εἰ δέ κεν ὀκταπόδην, ἀπὸ καὶ σφῦράν κε τάμοιο.
τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἁμάξῃ. [44] 424
πόλλ' ἐπικαμπύλα κᾶλα· φέρειν δὲ γύην, ὅτ' ἂν εὕρῃς,
εἰς οἶκον, κατ' ὄρος διζήμενος, ἢ κατ' ἄρουραν,
πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν·
εὖτ' ἂν Ἀθηναίης δμωὸς ἐν ἐλύματι πήξας
γόμφοισιν πελάσας προσαρήρεται ἱστοβοῆϊ.
δοιὰ δὲ θέσθαι ἄροτρα, πονησάμενος κατὰ οἶκον, [50] 430
αὐτόγυον καὶ πηκτόν· ἐπεὶ πολὺ λώϊον οὕτω.
εἴ χ' ἕτερόν γ' ἄξαις, ἕτερόν κ' ἐπὶ βουσὶ βάλοιο.
δάφνης δ' ἢ πτελέης ἀκιώτατοι ἱστοβοῆες.

415. Etymolog. M. p. 465, 18. Ἰδαλίμου, τοῦ ἱδροῦν ποιοῦντος· ἢ τοῦ διαυγοῦς καὶ καθαροῦ· ἐν γὰρ τῷ χειμῶνι, καὶ ἡ δύναμις τοῦ ἡλίου ἀσθενεστέρα ἐστί· καὶ (MS. Dorv. ἐ/ i. e. ἐστι) ῥῆμα ἰδίω τὸ ἱδρῶ· ἐξ οὗ γίνεται ἴδιμος, καὶ πλεονασμῷ τῆς αλι συλλαβῆς, ἰδάλιμος.

418. τῆμος Med. Gal. (cum Gl. νόσο,) Zonaras p. 45. ut conj. Guietus.

420. δ' ἄρ' Gal. ὥρια ἔργα Voss. 1. Gal.

421. τάμνειν. Voss. 2. κόπτειν. Sed vulg. praestat. Vide Schol. Aristoph. Vesp. 238.

422. Eustath. Il. O. p. 1040, 2 = 1050, 7. ἄρμενος Pr. Ald. Iunt.

423. ἀπέχει Gal.

424. Etymologus M. p. 185, 37. δεκαδώρῳ, ubi recte MS. Dorvill. δεκαδώρῳ. De v. ἄψις vide Eustath. Il. E. 574 = 436, 26. [Add. Schol. Lips. Homeri apud Heynium vol. V. p. 711. Ed. Lips.]

427. Schol. Aristoph. Acharn. 179. Suidas v. Πρίνινοι.

δμώς.

428. δμωος ἐλύματι Gal.

431. Schol. Venet. ad Il. K. 353. πηκτὸν ἄροτρον· τὸ τὸν γύην προσπεπηγότα ἔχον· αὐτόγυον δὲ τὸ ἐξ αὐτοῦ μονόξυλον. Tum Nostrum citat.

432. κ' ἐπὶ. Aug. Ac. Sen. Pr. Iunt. 1. 2. Brunck. Alii γ' ἐπὶ.

433. Zonaras p. 113. ἀκιωταχουν το ἀσθενέστατον κ. τ. λ. Aliam lectionem memorat Etymolog. M. p. 48, 49. ἄλλοι γράφουσιν ἀκιωράτατοι· ἵν' ᾖ κάλλιστοι, quam tamen merito improbare videtur

δὸς ἔλυμα, πρίνου δὲ γύην, βόε δ' ἐνναετήρω
ενε κεκτῆσθαι, (τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν,)
ς μέτρον ἔχοντε· τὼ ἐργάζεσθαι ἀρίστω.
ἄν τώ γ' ἐρίσαντες ἐν αὔλακι κὰμ μὲν ἄροτρον
αν, τὸ δὲ ἔργον ἐτώσιον αὖθι λίποιεν.
δ' ἅμα τεσσαρακονταέτης αἰζηὸς ἕποιτο,
ον δειπνήσας τετράτρυφον, ὀκτάβλωμον,
ἔργου μελετῶν ἰθεῖαν αὔλακ' ἐλαύνοι,
ἔτι παπταίνων μεθ' ὁμήλικας, ἀλλ' ἐπὶ ἔργῳ
ὸν ἔχων· τοῦ δ' οὔ τι νεώτερος ἄλλος ἀμείνων
ρματα δάσσασθαι, καὶ ἐπισπορίην ἀλέασθαι.
ρότερος γὰρ ἀνὴρ μεθ' ὁμήλικας ἐπτοίηται.
Φράζεσθαι δ' εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς
θεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης·
ἀρότοιό τε σῆμα φέρει, καὶ χείματος ὥρην
νύει ὀμβρηροῦ· κραδίην δ' ἔδακ' ἀνδρὸς ἀβούτεω

kenarius ad Ammon. p. 102, Etymologum, auctiorem quam n edito, describit.

4. Versus ἀκέφαλος, quales l vetustissimos poetas repe- plurimos observavi ad Theog. 1057. Sic supra 171. τρὶς ἔ- quod perperam a librariis polatum fuerat, qui metro onsulere arbitrabantur scri- lo τρὶς τοῦ ἔτους. Non itaque endus erat Dorvillius, qui ad itonem p. 427. legendum sta- ἴουρὸς ἔλυμα. At certam vero ri medicinam fecit, γύην πρί- legens pro πρίνου δὲ γύην, NCKIUS. Edd. vett. et pars co- m πρίνου γύην. Voss. 1, 2. ου τε γύην, Med. Barocc. 60. ου δὲ cum Schol. Aristoph. urn. 179: Suid. v. Πρίνινοι, ra p. 457. Etymolog. M. p. 25. Quare Brunckium, li- pse nihil quod placeat afferre m, hic imitari nolim. Peri- bus locum in medio relinquo. eqq. Eustathius Il. B. p. 245, 6, 13. Ἡσίοδος καὶ τοὺς ἐν- ίρους, ἀρίστους εἰς ἐργασίαν λέγει, καὶ ἥβης μέτρον ἔχειν· καὶ Ἀριστοτέλης (H. A. VI. 21.) οὖν ἱστορήσας ἀκμάζειν μά- λιστα τὸν βοῦν πενταέτη ὄντα, λέ- γει ὀρθῶς πεποιηκέναι τὸν Ὅμη- ρον, Βοῦν ἄρσενα πενταέτηρον. Gal. γύης.

437. ἐρίσαντε Suidas in v. ζυγο- μαχεῖν. Supra Pr. ἔχοντες.

439. V. Eustath. Il. E. p. 528 = 398, 31. Schol. Ven. Il. N. 484. ubi citatur v. 436.

440. Gal. in marg. γρ. τρυφί- σας, et ad v. seq. γρ. ὡς. De v. ὀκτάβλωμον v. Etymolog. M. p. 201, 17. Suid. v. βλωμὸς, Eustath. Od. I. p. 1635, 26 = 363, 50.

444. δάσασθαι (sic) Gal. Zona- ras p. 473. σπέρματα δάσασθαι, φυτὰ δ' ἐνθρέψασθαι ἄριστα. Po- strema, monente Zonarae editore, ad v. 779. infr. spectant. Pollux I. 223. Ἐπισπορία δέ ἐστιν, ὅταν τις εἰς τὸ αὐτὸ σπέρμα ἕτερον ἐπεμ- βάλῃ· ὃ δεῖ φυλάττεσθαι.

446. Schol. Arati Dios. 268. φράζεο δ' εὖτε ἐὰν γεράνων φω- νῆς. Schol. Aristoph. Av. 710. ἐ- πακούσαις.

449. ὀμβρηροῦ Pal. Voss. 1, Pr. Trinc. alii MSS. edd. ὀμβρηρῶν. Schol. Arati ὀμβρινοῦ. De ἀν- δρὸς ἀβούτεω vide Eustath. Il. Δ.

δὴ τότε χορτάζειν ἕλικας βόας ἔνδον ἐόντας.
ῥηΐδιον γὰρ ἔπος εἰπεῖν· Βόε δὸς καὶ ἄμαξαν·
ῥηΐδιον] δ' ἀπανήνασθαι. Πάρα δ' ἔργα βόεσσιν.
φησὶ δ' ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἄμαξαν,
νήπιος· οὐδὲ τόγ' οἶδ', ἑκατὸν δέ τε δούραθ' ἁμάξης,
τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκήια θέσθαι.
εὖτ' ἂν δὲ πρώτιστ' ἄροτος θνητοῖσι φανείη,
δὴ τότ' ἐφορμηθῆναι, ὁμῶς δμῶές τε καὶ αὐτὸς
αὔην καὶ διερὴν ἀρόων, ἀρότοιο καθ' ὥρην,
πρωῒ μάλα σπεύδων, ἵνα τοι πλήθωσιν ἄρουραι.
ἔαρι πολεῖν· θέρεος δὲ νεωμένη οὔ σ' ἀπατήσει.
νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν.
νειὸς ἀλεξιάρη, παίδων εὐκηλήτειρα.
εὔχεσθαι δὲ Διὶ χθονίῳ, Δημήτερί θ' ἁγνῇ,
ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτήν,
ἀρχόμενος τὰ πρῶτ' ἀρότου, ὅταν ἄκρον ἐχέτλης
χειρὶ λαβὼν, ὅρπηκι βοῶν ἐπὶ νῶτον ἵκηαι
ἔνδρυον ἑλκόντων μεσάβων. ὁ δὲ τυτθὸς ὄπισθεν

p. 71 = 53, 39. Gal. in marg. γρ. ἀβόστου, et v. seq. γρ. ἐόντας; textus enim βοῦς — ἐούσας. Mox Pr. hoc ordine 454. 455. 452. 453.

454. τόδ' Gal. Hunc locum citat Plato Theaetet. p. 207. A. quo respicit Galenus in Hippocr. de Nat. Hom. T. V. p. 16, 36. Adde Etymolog. M. p. 283, 21.

456. εὖτ' ἂν δὴ Graevius e Voss. Et sic Pr. Idem codd. v. seq. δεῖ τότ' ἐ.

459. Supra ἄρουραι gl. in Gal. αἱ ἀποθῆκαι. Unde in glossatoris codice exstitisse πλήθωσι καλιαί suspicatur Dobraeus.

460. Ἔαρι scribendum pro vulg. εἴαρι post Guietum docuit Brunckius. Et sic editum est in Polluce I. 223. Versus ultima sunt in Eustath. Il. Κ. p. 811 = 733, 18.

462. ἀλεξιάρη. Vide Etymolog. M. p. 59, 32. Schol. Pindari Olymp. II. 1. Eustath. Il. Δ. p. 439 = 334, 19.

463. Hunc versum et sequentem habet Schol. Aristoph. Plut. 727.

465. Edd. vett. ἀρότρου cum Plutarcho II. p. 169. B.

466. Ὅρπηκι. Observanda tmesis ἐφίκηαι νῶτον βοῶν ὅρπηκι. Prava scriptura, pravaque distinctione obscuratur in libris hic locus. ὅρπηκα legi solet. ἐφικνεῖσθαι adtingere, hic adhibitum ut καθικνεῖσθαι, quod feriendi significatione passim obvium. Brunck.

467. Ἔνδρυον ἑλκόντων μεσάβω. Lege ex utroque MS. [et Pr.] μεσάβων. Jam olim de lectione hujus loci incertos animi fuisse viros eruditos, qui in hoc scriptore non negligenter sunt versati, Proclus ostendit, qui utramque lectionem affert et exponit. Vulgatam ut tueatur ibi vide. De hac nostra sic disputat: ἑλκόντων μεσάβων (sic lege ex MS. Gudii, vulgo male μεσάβῳ) τὰ μέσσαβα μεσσάβων, λέγονται δὲ αἱ τοῦ ζυγοῦ γλυφαί. Καὶ ὁ Καλλίμαχος· μέσσαβα βοῦς ὑποδύς. Ἑλκόντων τῶν βοῶν τὸ ἔνδρυον, τῶν μεσσάβων, τὸν ζυγὸν ἐν ᾧ αἱ γλυφαί;

δμωὸς, ἔχων μακέλλαν, πόνον ὀρνίθεσσι τιθείη
σπέρματα κακκρύπτων· εὐθημοσύνη γὰρ ἀρίστη
θνητοῖς]ἀνθρώποις, κακοθημοσύνη δὲ κακίστη.
ὧδέ κεν ἁδροσύνῃ στάχυες νεύοιεν ἔραζε,
εἰ τέλος αὐτὸς ὄπισθεν Ὀλύμπιος ἐσθλὸν ὀπάζοι.
ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια· καί σε ἔολπα
γηθήσειν, βιότου αἱρεύμενον ἔνδον ἐόντος.
εὐοχθέων] δ' ἵξεαι πολιὸν ἔαρ, οὐδὲ πρὸς ἄλλους
αὐγάσεαι· σέο δ' ἄλλος ἀνὴρ κεχρημένος ἔσται.
εἰ δέ κεν ἠελίοιο τροπαῖς ἀρόῃς χθόνα δῖαν,
ἥμενος ἀμήσεις, ὀλίγον περὶ χειρὸς ἐέργων,
ἀντία δεσμεύων κεκονιμένος, οὐ μάλα χαίρων·
οἴσεις δ' ἐν φορμῷ· παῦροι δέ σε θηήσονται.
ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο,
ἀργαλέος δ' ἄνδρεσσι καταθνητοῖσι νοῆσαι.

ἔνθα οἱ αὐχένες τῶν βοῶν δέδενται. Sed melior hoc loco Tzetzes: Εὔχον τῇ ἐχέτλῃ εἱμμαρμένη ὅταν ἄρξῃ ἀροτριᾶν, καὶ οἱ λῶροι τοῦ ζυγοῦ ἕλκωσι τὸν ῥυμὸν δηλονότι τῶν βοῶν κινουμένων. Est enim μέσαβον et μέσσαβον lorum quo boves alligantur temoni. Pollux I. 13. Ὁ πλατὺς ἱμὰς ὁ τῷ ζυγῷ παρακαθαπτόμενος ἐχέβοιαν, καὶ μέσαβα, καὶ μέσαβον (sic lege ex MS.) καλεῖται. καταλαμβάνουσι δὲ αὐτὸν ὅταν περιειλῶσιν εἰς τὸ τοῦ ζυγοῦ τρύπημα, κερκίδα ξυλίνην ἐμβαλόντες, ἣ καλεῖται ἔμβολον ἢ ἔνδρυον. Valde apposite ad hunc locum. Sane ἔνδρυον Proclus quoque δρύϊνον πασσαλίσκον quernum paxillum exponit, qui infigitur foramini jugorum, ne lora, quae temonem trahunt et boves illi alligant, excidant. Plerisque tamen est ipse ἱστοβοεὺς, seu ῥυμός. Sed, puto, συνεκδοχικῶς, ut postea temo pro ipso aratro. Graevius. In fin. τυτθὸν ὄπισθεν collato Hom. Il. *Ε*. 443. mavult Schaeferus ad Dionys. H. de Comp. p. 62.

468. μάκελλαν γρ. μακέλλην Gal.

469. σπέρμα κατακρύπτων Gal.

Ad sequentia alludit Plutarchus Sympos. VIII p. 701. B.

472. Christiani cujusdam vestigia hic detexisse sibi visus est Ruhnkenius, improbante Brunckio.

474. βιότου αἱρεύμενον. Ita Med. Voss. Etymolog. M. p. 38, 12. Male edd. ante Brunck. βιότοιο ἐρεύμενον. Gal. βιότου γρ. cum γρ. βιότοι ε.

475. εὐοχθέων. Male in quibusdam edd. legitur εὐοχέων. Eustathius Il. *Α*. p. 143 = 108, 14. Ἡσίοδος εὐοχθεῖν λέγει, τὸ ἐπὶ καλοῖς κοπιᾶν. p. 156 = 118, 56. ὀχὴ μὲν ὀξυτόνως ἡ τροφή· ἀφ' ἧς καὶ εὐοχθεῖν κατά τινας παρ' Ἡσιόδῳ. cf. *Γ*. 424 = 322, 7. Od. *Α*. p. 1385 = 12, 23. ἐκ τῆς ὀχῆς ὅ ἐστι τροφῆς ὁ παρὰ Ἡσιόδῳ εὐοχθέων. αὐτὸ δὲ καὶ ἐκ τοῦ ὄχθου γένοιτ' ἄν. Vide Casaubon. ad Athenaei IV, 27. εὐωχῶν δ' ἥξεις Gal.

477. τροπῇς edd. et MSS. quidam. τροπῇ a p. m. τροπῆς ex em. Gal. deinde ἀρόῳς.

480. Citat Lucianus Dissert. cum Hesiod. c. 6. T. III. p. 224. Priora Etymolog. M. p. 798, 54.

εἰ δέ κεν ὀψ' ἀρόσῃς, τόδε κέν τοι φάρμακον εἴη·
ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι
τὸ πρῶτον, τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν,
τῆμος Ζεὺς ὕοι τρίτῳ ἤματι, μηδ' ἀπολήγοι,
μήτ' ἄρ' ὑπερβάλλων βοὸς ὁπλὴν, μήτ' ἀπολείπων·
οὕτω κ' ὀψαρότης πρωτηρότῃ ἰσοφαρίζοι.
ἐν θυμῷ δ' εὖ πάντα φυλάσσεο· μηδέ σε λήθοι
μήτ' ἔαρ γινόμενον πολιὸν, μήθ' ὥριος ὄμβρος.
Πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπαλέα λέσχην
ὥρῃ χειμερίῃ, ὁπότε κρύος ἀνέρας ἔργων
ἰσχάνει· ἔνθα κ' ἄοκνος ἀνὴρ μέγα οἶκον ὀφέλλοι·
μή σε κακοῦ χειμῶνος ἀμηχανίη καταμάρψῃ
σὺν πενίῃ, λεπτῇ δὲ παχὺν πόδα χειρὶ πιέζῃς.
πολλὰ δ' ἀεργὸς ἀνὴρ, κενεὴν ἐπὶ ἐλπίδα μίμνων,
χρηΐζων βιότοιο, κακὰ προσελέξατο θυμῷ.
ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη.
δείκνυε δὲ δμώεσσι, θέρευς ἔτι μέσσου ἐόντος,
Οὐκ αἰεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς.
μῆνα δὲ Ληναιῶνα, κάκ' ἤματα, βουδόρα πάντα,

483. ἀρόσῃς MSS. plerique et veteres edd. Recentiores ἀρόσεις.

484. V. Schol. Aristoph. Av. 505.

485. τέρπει δὲ Ac. E. Gal. Trinc.

486. ἐπ' ἤματι μήτ' Gal.

487. Deest Med. Citant Schol. Aristoph. Ach. 740. Theocrit. IV. 54.

488. ἰσοφαρίζοι sic Med. Gal. quomodo legendum statuerunt Guietus et alii. Edd. et MSS. reliqui vel ἰσοφαρίζῃ, vel ἰσοφαρίζει cum Ammonio v. ὀψέ. Paullo ante προαρηρότῃ Gal.

491. Citat Aristides T. II. p. 134=223. Suidas: λέσχη δὲ παρὰ Ἡσιόδῳ ἡ κάμινος.

492. ἔργων. Sic Med. Gal. Guietus e conjectura. Eustath. Il. P. p. 1117=1158, 38. ὅτι δὲ ὁ σφοδρὸς χειμὼν ἀναπαύει ἔργων ἀνθρώπους, δηλοῖ καὶ Ἡσίοδος. Antea εἴργον.

493. μέγαν edd. vett. ὀφέλλοι Brunck. Vulgo ὀφέλλει. Mox μὴ δὲ κ. Pr.

495. πιέζῃς Coisl. Aug. D. E. et MS. Brunckii. Al. πιέζοις.

Ib. Aristoteles in Probl. *Famelicis superiora arescunt, inferiora tument.* Scaliger.

496—499. Stobaeus Serm. XXX. p. 210.

500. γρ. θέρους Gal.

502. Etymolog. M. p. 564, 6. cum Scholiis ad h. l. conferendus. Eustath. Il. *P.* p. 1117=1158, 56. Ἡσίοδος ἐν τῇ τοῦ χειμῶνος ἐκφράσει βούδορα εἰπὼν ἤματα προπαροξυτόνως κατὰ παθητικὴν σημασίαν, ἐν οἷς βόες ἀποδέρονται· ἢ κατὰ ἐνέργειαν παροξυτόνως τὰ τοὺς βοῦς ἐκδέροντα· διὰ τοῦ μέρους τῶν βοῶν δηλαδὴ, πάντα ζῶα ἐδήλωσεν. Adjunge Schol. Victor. apud Heynium T. VII. p. 745.

τον ἀλεύασθαι, καὶ πηγάδας, αἵ τ' ἐπὶ γαῖαν
ύσαντος Βορέαο δυσηλεγέες τελέθουσιν·
ε διὰ Θρῄκης ἱπποτρόφου εὐρέϊ πόντῳ [125] 505
νεύσας ὤρινε· μέμυκε δὲ γαῖα καὶ ὕλη·
λὰς δὲ δρῦς ὑψικόμους, ἐλάτας τε παχείας,
εος ἐν βήσσῃς πιλνᾷ χθονὶ πουλυβοτείρῃ
ἵπτων, καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη.
ες δὲ φρίσσουσ', οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο, [130] 510
καὶ λάχνῃ δέρμα κατάσκιον· ἀλλά νυ καὶ τῶν
ρὸς ἐὼν διάησι, δασυστέρνων περ ἐόντων.
τε διὰ ῥινοῦ βοὸς ἔρχεται, οὐδέ μιν ἴσχει.
τε δι' αἶγα ἄησι τανύτριχα· πώεα δ' οὔ τι,
κ' ἐπηεταναὶ τρίχες αὐτῶν, οὐ διάησιν [135] 515
νέμου Βορέου· τροχαλὸν δὲ γέροντα τίθησι.
διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν,
δόμων ἔντοσθε φίλῃ παρὰ μητέρι μίμνει,
ὼ ἔργ' εἰδυῖα πολυχρύσου Ἀφροδίτης·

3. Suidas: πηγάδας· κρυώδεις
ας, παγετούς.
4. δυσηλέγεες Gal.
5. ἅς τε Med. et Gal. cum γρ.
.
6. μέμυκε. Scholiastes Nican-
Theriac. p. 41. ed. Colon. 1530.
ιδος· μέμυκε δὲ γαῖα καὶ ὕλη,
ὴ πάντα ἐν χειμῶνι συνεσταλ-
εἰσὶ καὶ ἠσφαλισμένα. Du-
m interpretationem suggerit
nolog. M. p. 579, 8. μέμυκε
τοῦ ἤχησεν. Εἰ μὲν οὖν ση-
ει τὸν ἦχον οἱονεὶ ἀποτελεῖν,
τοῦ μυκῶ ἐστιν· εἰ δὲ δηλοῖ
υνεσφῖχθαι καὶ πεπιλῆσθαι ἀ-
οῦ κρύους, δῆλον ὅτι ἀπὸ τοῦ
ἐστι.
9. Etymolog. M. p. 604, 50.
ιτος ὕλη. Ἡσίοδος μεγάλη,
ἣν οὐδεὶς φιλονεικήσειεν διὰ
λῆθος.
0. Etymolog. M. p. 575, 10.
α τὰ αἰδοῖα· ὅτι μέσα εἰσὶ
οὐρᾶς, μέσεα ὄντα· Σικελοὶ
αὶ Ταραντῖνοι μέσα αὐτὰ ἀπο-
ῦσιν. Ἡσίοδος· καὶ ὑπὸ μέ-
θεντο: — ἢ κατὰ μετάθεσιν τοῦ
ζ, μέδεα. Eustath. Il. B. p.
= 177, 40. Ἰστέον δ' ὅτι μή-
δεα παρὰ τοῖς πολλοῖς καὶ οἱ ὄρ-
χεις, παρὰ τὸ μέδειν ὅ ἐστιν ἄρχειν·
ἀρχὴ γάρ τις ἐν ζώοις καὶ αὐτοὶ ὡς
δηλοῦσιν οἱ παλαιοὶ, διατρανοῦν-
τες αὐτὸ ἐκ τῆς πολλῆς ἐναλλαγῆς
τῶν γάλλων, ητοι ἀποκόπων, σα-
φέστερον δὲ εἰπεῖν εὐνούχων. Ἡ-
σίοδος δέ φησιν αὐτοὺς μήδεα ἐν
Θεογονίᾳ, ἑτέρωθι δὲ μέζεα, φυ-
λάξας μὲν τὸ ε̄ τοῦ μέδειν, τρέψας
δὲ δ εἰς ζ κ. τ. λ. cf. ad Il. Γ. 407,
1 = 308, 24. Gregor. De Dial.
Ionic. §. CXLII. vv. 510, 511.
transp. Pr. Ald.

512. Suidas διάησι, διέρχεται.

514. V. Eustathius ad Dionysium 666.

516. Etymologus M. p. 769. antep. τροχαλόν· ἀντὶ τοῦ ἐπικαμπῆ· ἐκ μεταφορᾶς τοῦ τροχοῦ· ἢ ὀξὺν ἐν τῷ δρόμῳ· ἀναγκάζεται γὰρ ὁ γέρων ὑπὸ ψύχους τρέχειν ὑπὸ θερμὸν οἶκον· ἢ κυρτὸν καὶ ἐπικλινῆ. βορέαο Pr. Ald. Mox τε Gal.

517. Citat Plutarchus de Animi Tranquill. p. 465. D.

518. Voss. 1. ἔντοσθεν μίμνει παρὰ μητέρι κεδνῇ.

εὖτε λοεσσαμένη τέρενα χρόα, καὶ λίπ' ἐλαίῳ [140] 520
χρισαμένη, νυχίη καταλέξεται ἔνδοθεν οἴκου,
ἤματι χειμερίῳ, ὅτ' ἀνόστεος οὖν πόδα τένδει,
ἔν τ' ἀπύρῳ οἴκῳ καὶ ἐν ἤθεσι λευγαλέοισιν.
οὐ γάρ οἱ ἠέλιος δείκνυ νομὸν ὁρμηθῆναι·
ἀλλ' ἐπὶ κυανέων ἀνδρῶν δῆμόν τε πόλιν τε [145] 525
στρωφᾶται, βράδιον δὲ Πανελλήνεσσι φαείνει.
καί τότε δὴ κεροὶ καὶ νήκερον ὑλήκοιται
λυγρὸν μυλιόωντες ἀνὰ δρία βησσήεντα
φεύγουσιν· καὶ πᾶσιν ἐνὶ φρεσὶ τοῦτο μέμηλεν,

520. εὖτ' ἂν λοεσσαμένη — ἐλαίῳ Aug.

521. Voss. 1. μυχίη cum Gl. ἔνδοτος, non improbante Graevio, cui et Proclus sic legisse videtur, interpretatus, ἐξω μυχῶν τοῦ οἴκου παρθενευομένην. μυχίη etiam Gal. cum gl. ἐν μυχοῖς, sed υ superscribitur. In fine versus Voss. 1. ἔνδοθι οἴκου, cum edd. Pri Junt.

522. ἀνόστεος ὧν πόδα τένδει. Antigonus Garystius in παραδόξων συναγωγῇ c. 25. legit τέμνει. Ὁ δὲ πολύπους, inquit, ἐν τῷ χειμῶνι τὰς πλεκτάνας αὐτοῦ κατεσθίει· τοῦτ' ἐστιν, Ἤματι χειμερίῳ ὅτ' ἀνόστεος ὧν πόδα τέμνει. Quod Hesiodus πόδα πολύποδος, hoc Antigonus πλεκτάνας nominat, Philes vero et Aelianus πλοκάμους. Inde proverbium cujus Hesychius meminit, Πολύποδος δίκην αὐτὸς ἑαυτὸν καταφαγών. Observatu vero dignum est, quod observavit Moschopulus, ἀνόστεον esse Lacedaemoniorum vocem, sicque eos appellasse πολύποδα. Graevius. Habet Suidas v. Ἐλεδώνη, (conf. Etymolog. p. 327, 25.) Idem v. τένθαις — τένθω γάρ καὶ τένδω τὸ ἐσθίω· Ὅτ' ἀνόστεος ὧν πόδα τένθει. Διὰ τοῦ θ γραπτέον.

524. οὐδέ οἱ ἠέλιος Hermannus Orphic. p. 780.

526. Ob usum vocis βράδιον citat Phrynichus Ecl. p. 36. v. Thomam Mag. p. 171. Zonaram p. 407. De v. Πανέλληνες omnino commemorandus Strabonis locus VIII. p. 557 = 568, ubi Nostri opus deperditum, Catalogum puta, in testimonium allegat. Περὶ δὲ τῆς Ἑλλάδος καὶ Ἑλλήνων καὶ Πανελλήνων ἀνειλήφαμεν. Θουκυδίδης μὲν γὰρ τὸν ποιητὴν μηδαμοῦ βαρβάρους εἰπεῖν φησι, διὰ τὸ μηδὲ Ἕλληνές πω τὸ ἀντίπαλον εἰς ἓν ὄνομα ἀποκεκρίσθαι. Καὶ Ἀπολλόδωρος δὲ πόνους τοὺς ἐν τῇ Θετταλίᾳ καλεῖσθαί φησιν Ἑλληνας· Μυρμιδόνες δ' ἐκαλοῦντο καὶ Ἕλληνες. Ἡσίοδον μέντοι, καὶ Ἀρχίλοχον, ἤδη εἰδέναι καὶ Ἕλληνας λεγομένους τοὺς σύμπαντας καὶ Πανέλληνας· τὸν μὲν περὶ τῶν Προιτίδων λέγοντα, ὡς Πανέλληνες ἐμνήστευον αὐτάς· τὸν δὲ, Ὃς Παγγελλήνων ὑζὺς ἐς Θάσον συνέδραμεν.

528. μυλιόωντες. Brunckius edidit μαλκιόωντες, lectionem Cratetis, Valesio, Graevio, Valckenaerio, aliisque probatam. Vide notas ad Hesych. v. Μαλκτεῖν· τὸ ὑπὸ ψύχους συνεσπᾶσθαι τὰς χεῖρας. Etymolog. M. p. 594, 46. Μυλιόωντες· Ἡσίοδος· τὰ χείλη κινοῦντες ἀπὸ τῆς ψυχρότητος, ἢ συνάγοντες· ἢ τὰς μύλας συγκρούοντες. Κράτης δὲ γράφει, μαλκιόωντες. Ἔστι δὲ τὸ διὰ ψύχος μὴ ἔχειν εὐκινήτῳ δυνάμει χρήσασθαι. Mox MSS. complures δρία, cum Etymologo M. p. 287, 43. Alii δρύα.

οἱ σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἔχουσι,
καὶ γλάφυ πετρῆεν· τότε δὴ τρίποδι βροτῷ ἴσοι,
οὔ τ' ἐπὶ νῶτα ἔαγε, κάρη δ' εἰς οὖδας ὁρᾶται,
τῷ ἴκελοι φοιτῶσιν, ἀλευόμενοι νίφα λευκήν.
καὶ τότε ἕσσασθαι ἔρυμα χροὸς, ὥς σε κελεύω,
χλαῖναν μὲν μαλακὴν, καὶ τερμιόεντα χιτῶνα.
στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι·
τὴν περιέσσασθαι, ἵνα τοι τρίχες ἀτρεμέωσι,
μηδ' ὀρθαὶ φρίσσωσιν, ἀειρόμεναι κατὰ σῶμα.
ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο
ἄρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσσας.
πρωτογόνων δ' ἐρίφων, ὁπόταν κρύος ὥριον ἔλθῃ,
δέρματα συῤῥάπτειν νεύρῳ βοὸς, ὄφρ' ἐπὶ νώτῳ
ὑετοῦ ἀμφιβάλῃ ἀλέην· κεφαλῇφι δ' ὕπερθεν
πῖλον ἔχειν ἀσκητὸν, ἵν' οὔατα μὴ καταδεύῃ·
ψυχρὴ γάρ τ' ἠὼς πέλεται Βορέαο πεσόντος·
[ἠῷος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος

530. Sententiae forte magis esset congruum, si legeretur, οἱ σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἕλωσι. *Fugiunt ferae omnes, idque unice curant, quo, tecta inquirentes, densas latebras occupent.* BRUNCKIUS. De plurali σκέπα vide Ruhnkenium ad H. in Cerer. 12.

531. Ob v. γλαφὺ citant Etymolog. M. p. 233, antep. Eustath. Il. B. p. 178 = 135, 24. τερμιόεις, ποδηνεκῆς interprete Eustathio ad Il. K. p. 794, 16 = 710, 4.

535. χλαῖνάν τε, edd. quaedam et Gal.

536. Schol. Ven. Il. Λ. 600. Ἡσίοδος· τὴν κρόκην, κρόκα. Vide Zonaram p. 1139. Suid. v. ἰῶκα. Etymol. M. p. 481, 28. Salmasium Herod. Attic. Inscr. p. 115.

541. ὁπότε — ἔλθοι Gal. ἔλθοι Ald. Trinc. Junt.

542. νώτῳ. Moschopulus ὤμῳ probantibus Graevio, et Brunck.

544. Etymolog. M. p. 258, 34. 672, 2. Eustath. Il. E. p. 613 = 467, 33.

546 — 551. Non unum telum ad manum est, quo versuum, quos apponi, fides jugulетur. Primum mihi explicet aliquis, qui sit ἀὴρ πυροφόρος. Graecos enim magistros nihil moror, misere hoc loco balbutientes. Seleucus, vetus Grammaticus, apud Proclum, cum se aliter expedire non posset, ἀὴρ ὀμβροφόρος rescripsit. Mox, μακάρων ἐπὶ ἔργοις, quale tandem est? Scholiastae, quos Graevius sequitur, de *ditiorum agris* capiunt. Sed, ne dicam, minus recte unos ditiores, exclusis pauperioribus, commemorari, cedo mihi locum Hesiodi vel Homeri, ubi μάκαρες simpliciter *beati homines* dicantur. Ἔργα μακάρων sunt *Deorum opera:* Dionysius Perieg. 1109. Ἦν ῥά τ' ἀνερχόμενος μακάρων ἐπὶ ἔργα καὶ ἀνδρῶν, Ἠέλιος πρώτησιν ἐπιφλέγει ἀκτίνεσσι. Verum ne interpolator quidem, quamvis in scribendo novare potuerit, sic videtur scripsisse. Suspicor ab ejus manu fuisse, μερόπων ἐπὶ ἔργοις, ut vetus Poeta περὶ καταρχῶν v. 543. Ἀρχὴν καὶ τέλος ἐσθλὸν ἄγει μερόπων ἐπὶ ἔργοις. At hac ipsa loquendi forma, quan-

ἀνὴρ πυροφόρος τέτατται μακάρων ἐπὶ ἔργοις·
ὅς τε ἀρυσάμενος ποταμῶν ἀπὸ ἀενάοντων,
ὑψοῦ ὑπὲρ γαίης ἀρθεὶς ἀνέμοιο θυέλλῃ,
ἄλλοτε μὲν θ' ὕει πρὸς ἑσπέρου, ἄλλοτ' ἄῃσι [170] 550
πυκνὰ Θρηϊκίου Βορέου νέφεα κλονέοντος.]
τὸν φθάμενος, ἔργον τελέσας, οἰκόνδε νέεσθαι,
μήποτέ σ' οὐρανόθεν σκοτόεν νέφος ἀμφικαλύψῃ,
χρῶτά τε μυδαλέον θείῃ, κατά θ' εἵματα δεύσῃ.
ἀλλ' ὑπαλεύασθαι· μείς γὰρ χαλεπώτατος οὗτος [175] 555
χειμέριος, χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις.
τῇμος θώμισυ βοῦσ', ἐπὶ δ' ἀνέρι καὶ πλέον εἴη
ἁρμαλιῆς· μακραὶ γὰρ ἐπιῤῥοθοι εὐφρόναι εἰσί.
[ταῦτα φυλασσόμενος τετελεσμένον εἰς ἐνιαυτὸν,
ἰσοῦσθαι νύκτας τε καὶ ἤματα, εἰσόκεν αὖθις [180] 560
γῆ πάντων μήτηρ καρπὸν φύμμικτον ἐνείκῃ.]
Εὖτ' ἂν δ' ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο
χειμέρι' ἐκτελέσῃ Ζεὺς ἤματα, δή ῥα τότ' ἀστὴρ
Ἀρκτοῦρος, προλιπὼν ἱερὸν ῥόον Ὠκεανοῖο,
πρῶτον παμφαίνων, ἐπιτέλλεται ἀκροκνέφαιος. [185] 565

tum ab Hesiodi aetate fuerit, ostendit. Hesiodus enim semper cum Homero dicit μέροπες ἄνθρωποι, nunquam μέροπες nude et substantive. V. 55b. factus ad exemplum notissimi Theocrit. Id. IV. 42. Ruhnkenius.

547. πυροφόρος ἐντέτατται Voss. 1.

548. αἰὲν ναόντων gl. ῥεόντων, in marg. γρ. ἀόντων et gl. φυσώντων Gal. αἰὲν ναόντων Pr. Ald. Trinc.

549. γαῖαν Aug.

552. ἔργα edd. vett.

553. μήποτ' ἐξ οὐρ. in marg. γρ. μήποτέ γ' (vel σ') οὐρ. Gal.

554. χρῶτα δὲ μυδάλεον· Gal. Med. D.

557. τῶμισυ βουσὶν — πλεῖον omisso καὶ Gal. Brunckius dedit e MS. τ. θ. βουσὶν ἐπ' ἀνέρι δὲ π. s. quam lectionem firmant D. E. et alii. καὶ πλέον Graevius e Voss. ubi καὶ πλεῖον. Pr. Ald. Trinc. τὸ πλέον. Etymolog. M. p. 145, 7. Ἁρμαλιή· ἡ τροφή.—ἐπὶ δ' ἀνέρι τὸ πλέον εἴη Ἁρμαλιῆς· Ἡσίοδος. ubi MS. Dorvill. ἁρμαλιᾶ—πλεῖον omisso τό. τῶμισυ Eustath. Il. B. p. 245=186, 8.

559. Hunc et duo sequentes versus pro subditiis expungendos esse censuit olim Plutarchus. Nec illos videtur agnovisse Moschopulus. Rectius sane abesse̓nt. Graevius.

560. αὖτις Gal.

562. τροπὰς ultimam corripit, more Dorico. (cf. Gregor. §. CXLIX.) Sic infra 661. δεινὰς 673. κοῦρας Theog. 60. Ἀρκτῖας ib. 267. μεταναιέτας ib. 401. βουλὰς ib. 534 653. λαγὸς (acc. pl.) Scut. 302. Quae loca collegit Clarkius ad Homer. Il. B. 43. Multa ex usu Dorico protulisse Hesiodum auctor est Schol. Venet. ad Il. E. 269. Conf. Dorvillium in Charit. p. 785=680.

τόνδε μετ' ὀρθρογόην Πανδιονὶς ἄρτο χελιδὼν
ἐς φάος ἀνθρώποις, ἔαρος νέον ἱσταμένοιο.
τὴν φθάμενος, οἶνας περιταμνέμεν· ὧς γὰρ ἄμεινον.
ἀλλ' ὁπόθ' ἂν φερέοικος ἀπὸ χθονὸς ἂν φυτὰ βαίνῃ
Πληϊάδας φεύγων, τότε δὴ σκάφος οὐκέτι οἰνέων [190] 570
ἀλλ' ἅρπας τε καρασσέμεναι, καὶ δμῶας ἐγείρειν.
φεύγειν δὲ σκιεροὺς θώκους, καὶ ἐπ' ἠῶ κοῖτον,
ὥρῃ ἐν ἀμήτου, ὅτε τ' ἠέλιος χρόα κάρφει.
τημοῦτος σπεύδειν, καὶ οἶκαδε καρπὸν ἀγείρειν,
ὄρθρου ἀνιστάμενος, ἵνα τοι βίος ἄρκιος εἴη. [195] 575
ἠὼς γάρ τ' ἔργοιο τρίτην ἀπομείρεται αἶσαν.
ἠὼς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου·
ἠὼς, ἥ τε φανεῖσα πολέας ἐπέβησε κελεύθου
ἀνθρώπους, πολλοῖσι δ' ἐπὶ ζυγὰ βουσὶ τίθησιν.
Ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ, καὶ ἠχέτα τέττιξ [200] 580
δενδρέῳ ἐφεζόμενος λιγυρὴν καταχεύετ' ἀοιδὴν
πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματώδεος ὥρῃ,
τῆμος πιότατοί τ' αἶγες, καὶ οἶνος ἄριστος,
μαλλότατοι δὲ γυναῖκες, ἀφαυρότατοι δέ τε ἄνδρες

566. ὀρθρογόη. Sic Voss. 1. et Suidas. ὀρθογόη Voss. 2. Ac. Aug. Proclus, Tzetzes, Hesychius, Etymolog. M. p. 631, 4. utramque lectionem ob oculos habuisse videtur: ὀρθογόη, ἢ μεγάλως (μεγάλα MS.) θρηνοῦσα· ἢ ὑπὸ τὸν ὄρθρον ἠχοῦσα.

568. περιτεμνέμεν Gal.

569. ἀμφυτὰ βαίη γρ. βαίνῃ Gal. ἀμφυτὰ Pr. Athenaeus II. p. 65. B. Ἡσίοδος δὲ τὸν κοχλίαν φερέοικον καλεῖ.

573. Multi codd. κάρφει. Alii κάρφῃ. Gal. ἀμήτου — κάρφει. Illud recte, si vera monuit Etymolog. M. p. 83. 9. Διαφέρει δὲ ἄμητος, καὶ ἀμητός. Ἄμητος γάρ ὁ καιρὸς τοῦ θέρους· ἀμητὸς δὲ ὁ θερισμός, οἱονεὶ αὐτὸς ὁ ἀμώμενος καρπός. Legit et distinguit Guietus, ὥρῃ ἐν ἀμήτου. Ὅτε δ' ἠέλιος χρόα κάρφει, Τημοῦτος σπ.

574. ἀγινεῖν cum gl. συνάγων Gal.

576. ἀπομείρεται Gal. vs. om. Pr.

577. Suidas προφέρει, ἀντὶ τοῦ εἰς τὸ πρόσω ἄγει. Eustath. Il. B. 214 = 162, 15. Ἡσίοδος δὲ ἐν τῷ προφέρει μὲν ὁδοῦ προφέρει δὲ καὶ ἔργου, ἑτεροῖόν τι σημαινόμενον τοῦ προφέρειν ὑποκρούεται, καὶ οὐκ αὐτόχρημα λαμβάνει ἀντὶ τοῦ ὑπερφέρει, ἀλλ' ἀντὶ τοῦ προάγει, προκόπτειν ποιεῖ, προκινεῖ, προβιβάζει.

578. Etymologus M. p. 384, 5. εἴτε φ. πολῆς. MS. πολεῖς.

580. Schol. Aristoph. Pac. 1159. Nicandri Theriac. p. 43. Suidas v. Τέφρα. Eustath. Il. Γ. p. 395 = 299, 49.

581. ἐπιχεύετ' Aug. Ac. D. cum MS. Gregorii de Dialect. p. 62. ed. Schaefer.

584. Vide Aristot. Problem. IV. 26. δὲ τοι Pr.

εἰσὶν, ἐπεὶ κεφαλὴν καὶ γούνατα Σείριος ἄζει, [205] 585
αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος· ἀλλὰ τότ' ἤδη
εἴη πετραίη τε σκιὴ, καὶ βίβλινος οἶνος,
μᾶζά τ' ἀμολγαίη, γάλα τ' αἰγῶν σβεννυμενάων,
καὶ βοὸς ὑλοφάγοιο κρέας μήπω τετοκυίης,
πρωτογόνων τ' ἐρίφων· ἐπὶ δ' αἴθοπα πινέμεν οἶνον,
ἐν σκιῇ ἑζόμενον, κεκορημένον ἦτορ ἐδωδῆς, [211] 591
ἀντίον ἀκραέος Ζεφύρου τρέναντα πρόσωπον,
κρήνης τ' ἀενάου καὶ ἀποῤῥύτου, ἥ τ' ἀθόλωτος.
τρὶς δ' ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.
δμωσὶ δ' ἐποτρύνειν Δημήτερος ἱερὸν ἀκτὴν [215] 595
δινέμεν, εὖτ' ἂν πρῶτα φανῇ σθένος Ὠρίωνος,
χώρῳ ἐν εὐαέϊ, καὶ ἐϋτροχάλῳ ἐν ἀλωῇ·
μέτρῳ δ' εὖ κομίσασθαι ἐν ἄγγεσιν, αὐτὰρ ἐπὴν δὴ
πάντα βίον κατάθῃαι ἐπάρμενον ἔνδοθεν οἴκου,
θῆτά τ' ἄοικον ποιεῖσθαι, καὶ ἄτεκνον ἔριθον [220] 600
δίζεσθαι κέλομαι· χαλεπὴ δ' ὑπόπορτις ἔριθος.
καὶ κύνα καρχαρόδοντα κομεῖν· μὴ φείδεο σίτου·
μή ποτέ σ' ἡμερόκοιτος ἀνὴρ ἀπὸ χρήμαθ' ἕληται.
χόρτον δ' ἐσκομίσαι καὶ συρφετὸν, ὄφρα τοι εἴη

587. τε om. Gal. βίβλινος L. Holstenius ad Stephanum Byz. p. 67. quem secutus est Brunckius, et sic edd. vett. et MSS. complures. Vulgatum βύβλινος servat Eustath. Il. Α. p. 871, 48. Plus simplici autem incommodo laborat versus. Prorsus enim inusitate ε ante σκ corripitur, et eadem fere sententia recurrit infr. 590. Quare pro acumine suo lector medelam, quam potest, excogitet; nam in talibus a codd. nihil est quod expectemus.

588. Vide Schol. Aristoph. Equit. 959. Etymolog. M. 575, 25. Athenaeus III. p. 115. A. Ἡσίοδος δὲ μάζαν τινὰ ἀμολγαίαν καλεῖ — τὴν ποιμενικὴν λέγων καὶ ἀκμαίαν. Ad Athenaeum respexit Eustath. Il. Α. p. 838, 52 = 774, 7.

589. V. Schol. Theocrit. I. 6.

590. πιέμεν Gal. pro v. l. E. Mox ἐν σ. δ' ἑζόμενοι Med.

592. ἀκραέος ζεφύρου. Ita Med. Voss. 1. et quod ad ζεφύρου Pal. Codd. quidam, frequenti errore, pro ἀκραέος sistunt εὐκραέος. Edd. vett. ἀνέμου. Mox πρόσωπα Gal. et alii.

593. Citant Porphyrius Abstin. IV. c. 20. Plutarch. II. p. 725. D. Athenaeus II. p. 41. E. XI. p. 782. A.

594. δ' om. Gal. et alii cum Athenaeo X. p. 426. C. XI. p. 782. A. vide Photium in Τρία καὶ δύο. Pr. οἶνον, et mox 596. πρῶτον.

599. ἔνδοθι Gal.

600. Copulam addunt duo Bodleiani, Coisl. Ac. Sen. Pal. Gal. MS. apud Brunck. Alii θῆτ' cum edd. plerisque, alii θῆτα sine elisione.

601. Schol. Venet. Il. Π. 5. Eustath. Il. Ρ. p. 1091, 53 = 1122, 6.

603. Etymologus p. 429, 37.

604. χόρτον τ' Aug. Ac. D. Med.

βουσὶ καὶ ἡμιόνοισιν ἐπηετανόν. αὐτὰρ ἔπειτα [225] 605
δμῶας ἀναφύξαι φίλα γούνατα, καὶ βόε λῦσαι.
Εὖτ' ἂν δ' Ὠρίων καὶ Σείριος εἰς μέσον ἔλθῃ
οὐρανόν, Ἀρκτοῦρον δ' ἐσίδῃ ῥοδοδάκτυλος Ἠώς,
ὦ Πέρση, τότε πάντας ἀποδρέπειν οἶκαδε βότρυς.
δεῖξαι δ' ἠελίῳ δέκα τ' ἤματα καὶ δέκα νύκτας· [230] 610
πέντε δὲ συσκιάσαι, ἕκτῳ δ' εἰς ἄγγε' ἀφύσσαι
δῶρα Διωνύσου πολυγηθέος· αὐτὰρ ἐπὴν δὴ
Πληϊάδες θ', Ὑάδες τε, τό τε σθένος Ὠρίωνος
δύνωσιν, τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
ὡραίου· πλειῶν δὲ κατὰ χθονὸς ἄρμενος εἴη. [235] 615
Εἰ δέ σε ναυτιλίης δυσπεμφέλου ἵμερος αἱρεῖ,
εὖτ' ἂν Πληϊάδες, σθένος ὄβριμον Ὠρίωνος
φεύγουσαι, πίπτωσιν ἐς ἠεροειδέα πόντον,
δὴ τότε παντοίων ἀνέμων θύουσιν ἀῆται·
καὶ τότε μηκέτι νῆας ἔχειν ἐνὶ οἴνοπι πόντῳ, [240] 620
γῆν δ' ἐργάζεσθαι μεμνημένος, ὥς σε κελεύω.
νῆα δ' ἐπ' ἠπείρου ἐρύσαι, πυκάσαι τε λίθοισι
πάντοθεν, ὄφρ' ἴσχωσ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
χείμαρον ἐξερύσας, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος.
ὅπλα δ' ἐπάρμενα πάντα ταῷ ἐνικάτθεο οἴκῳ, [245] 625
εὐκόσμως στολίσας νηὸς πτερὰ ποντοπόροιο·

Gal. Trinc. Sed alii cum Etymolog. M. p. 736, 39. δ'. τοι om. Pr.

606. Schol. Aristoph. Pac. 1170.

607. ἕλθαι — ἐαίδοι Pr.
οι

608. ἐσιδῃ Gal.

609. ἀποδρέπειν cum alt. in marg. Gal.

610. δ' ἤματα Gal. τ' om. Pr.

614. Codicum et editionum para ῥοότροον.

616. Brunckius e MS. αἱρεῖ, et sic plures, cum Zonara p. 679. Vulgo αἱρῇ cum Etymol. M. p. 292, 36. Sed ἵμερος αἱρῇ absunt a MS. Dorvill. Eustath. ad Il. Π. p. 1084, 38. Δυσπέμφελος δὲ πόντος, ὁ δυσχείμερος, δι' οὗ δυσχερῶς ναῦς πέμπεται. Ὅθεν καὶ Ἡσίοδος δυσπέμφελον τὴν ναυτιλίαν φησί. Schol. Victor. apud Heynium T. VII. p. 790. Ζηνόδοτος δυσπέμφελοι εἶεν, γράφων, ἐπὶ τῶν ἀνδρῶν ἤκουεν· οἷον, δυσάρεστοι οἱ ἐπαῖροι· δηλονότι, ὡς καὶ Ἡσίοδος, πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι· ἢ ἀπλήρωτος· καὶ Ἡσίοδος· ναυτιλίης δυσπεμφέλου· κέρδους γὰρ οὐ πίμπλαται.

618. πίπτουσιν Junt.

619. θύνουσιν Gal. pro v. l. 620. ἐπὶ Pr.

625. ναόντων Aug. ἀέντων Pr. Junt. 1. E. D. ex em.

624. Eustathius Il. E. p. 525 = 598, 5. Ἡσίοδος τὸν ἐν τῷ ἐδάφει τοῦ πλοίου πάτταλον χείμαῤῥον καλεῖ, τὸν καὶ ἴβδην λεγόμενον· ποιεῖ δὲ τοῦτο ἀστείως, διὰ τὰ ἐκεῖθεν τῆς νηὸς ἀποῤῥέειν τὸ ἄμβριον ὕδωρ, ὡς διὰ χειμάῤῥου τινός.

625. ὅπλα τ' Aug. ἐνικάτθεο Aug.

πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμέσασθαι.
αὐτὸς δ' ὡραῖον μίμνειν πλόον, εἰσόκεν ἔλθῃ·
καὶ τότε νῆα θοὴν ἅλαδ' ἑλκέμεν, ἐν δέ τε φόρτον
ἅρμενον ἐντύνασθαι, ἵν' οἴκαδε κέρδος ἄρηαι, [250] 630
ὥσπερ ἐμός τε πατὴρ καὶ σός, μέγα νήπιε Πέρσῃ,
πλωΐζεσκεν νηυσί, βίον κεχρημένος ἐσθλόν·
ὅς ποτε καὶ τῇδ' ἦλθε, πολὺν διὰ πόντον ἀνύσσας,
Κύμην Αἰολίδα προλιπών, ἐν νηῒ μελαίνῃ·
οὐκ ἄφενος φεύγων, οὐδὲ πλοῦτόν τε καὶ ὄλβον, [255] 635
ἀλλὰ κακὴν πενίην, τὴν Ζεὺς ἀνδρεσσι δίδωσι.
νάσσατο δ' ἄγχ' Ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ,
Ἄσκρῃ, χείμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.
Τύνη δ', ὦ Πέρση, ἔργων μεμνημένος εἶναι
ὡραίων πάντων, περὶ ναυτιλίης δὲ μάλιστα. [260] 640
νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι.
μείζων μὲν φόρτος, μεῖζον δ' ἐπὶ κέρδεϊ κέρδος

D. Pal. ἴνι κάτθεο Ac. Ald. Trinc. ἐγκάτθεο Pr. et rec.

627. Schol. Aristoph. Av. 712.

628. Gal. καιρὸν pro πλόον, et suprascr. πλοῦν πλόϊμον καιρόν.

632. πλωΐζεσκ' ἐν Gal.

633. βαθὺν pro v. l. Gal.

635. 636. Hos versus omisit Brunckius, J. Clerici judicium secutus. ἄφενον Aug.

637. Strabo IX. p. 594 = 628. Ἐν δὲ τῇ τῶν Θεσπιέων ἐστὶ καὶ ἡ Ἄσκρη κατὰ τὸ πρὸς Ἑλικῶνα μέρος, ἡ τοῦ Ἡσιόδου πατρίς· ἐν δεξιᾷ γάρ ἐστι τοῦ Ἑλικῶνος, ἐφ' ὑψηλοῦ καὶ τραχέος τόπου κειμένη, ἀπέχουσα τῶν Θεσπιῶν ὅσον τετταράκοντα σταδίους, ἣν καὶ κεκωμῴδηκεν αὐτὸς ἐκεῖνος περὶ τοῦ πατρὸς λέγων, ὅτι ἐκ Κύμης τῆς Αἰολίδος, Νάσσατο κ. τ. λ. conf. 600 = 633. XIII. p. 893 = 924. Ovidius Ep. e Pont. IV. xiv. 31. *Esset perpetuo sua quam vitabilis Ascra, Musa est agricolae Musa docere senis. At fuerat terra genitus, qui scripsit, in illa: Intumuit vati nec tamen Ascra suo.*

638. θέρος ἀργαλέῃ Aug. cum Eustath. Il. B. p. 270 = 205, 5. sed vulgatum est in Schol. Ven. Il. B. Catal. v. 14. Strabone, Lucian. Pseudol. T. III. p. 177. Max. Tyr. Diss. XXIX. p. 355. θέρει δ' ἀργαλέῃ Junt. Maximi Tyrii edd. vett. praebent θέρος.

641. V. Schol. Arati Phaen. 152. Eustath. Il. E. p. 610 = 464, 58. Etymolog. M. p. 56, 22. αἰνεῖν· ἐπαινεῖν καὶ συγκατατίθεσθαι παρ' Ὁμήρῳ· παρὰ δὲ Ἡσιόδῳ, τὸ παραιτεῖσθαι· Νῆ' ὀλίγην αἰνεῖν.

Tricantur Graeci magistri, qui contendunt αἰνεῖν εἰρωνικῶς esse χαίρειν ἐᾷν, quamvis iis adstipuletur Plutarchus libello de Audiendis Poetis. Qui, cum hunc locum produxisset, ait, τῷ μὲν γὰρ αἰνεῖν σημαίνεται τὸ ἐπαινεῖν· αὐτῷ δὲ ἐπαινεῖν ἀντὶ τοῦ παραιτεῖσθαι νῦν κέχρηται, καθάπερ ἐν τῇ συνηθείᾳ καλῶς φαμὲν ἔχειν, καὶ χαίρειν κελεύομεν, ὅταν μὴ δεώμεθα μηδὲ λαμβάνωμεν. Οὕτω καὶ τὴν ἐπαινὴν Περσεφόνειαν ξένιοι φασὶν ὡς παραιτητὴν εἰρῆσθαι. Vide Eustath. ad Il. K. p. 802 = 720. Sed non erat ut alienam τῷ αἰνεῖν significationem hic affingerent. Dictum enim est ab Hesiodo eo sensu quo a Virgilio, *Lau-*

ται, εἴ κ' ἄνεμοί γε κακὰς ἀπέχωσιν ἀήτας.
ἂν ἐπ' ἐμπορίην τρέψας ἀεσίφρονα θυμὸν
λῆαι χρέα τε προφυγεῖν καὶ λιμὸν ἀτερπῆ, [265] 645
ὤ δή τοι μέτρα πολυφλοίσβοιο θαλάσσης,
ς τι ναυτιλίης σεσοφισμένος, οὔτε τι νηῶν.
γὰρ πώποτε νηῒ γ' ἐπέπλων εὐρέα πόντον,
ἢ εἰς Εὔβοιαν ἐξ Αὐλίδος, ἦ ποτ' Ἀχαιοὶ
αντες χειμῶνα, πολὺν σὺν λαὸν ἄγειραν [270] 650
άδος ἐξ ἱερῆς Τροίην ἐς καλλιγύναικα.
κόθ' ἐγὼν ἐπ' ἄεθλα δαΐφρονος Ἀμφιδάμαντος
κίδα τ' εἰσεπέρησα· τὰ δὲ προπεφραδμένα πολλὰ
ἔθεσαν παῖδες μεγαλήτορες· ἔνθα με φημὶ
ῳ νικήσαντα φέρειν τρίποδ' ὠτώεντα. [275] 655
μὲν ἐγὼ Μούσῃσ' Ἑλικωνιάδεσσ' ἀνέθηκα,
κ με τὸ πρῶτον λιγυρῆς ἐπέβησαν ἀοιδῆς.
τον τοι νηῶν γε πεπείραμαι πολυγόμφων.
τὰ καὶ ὧς ἐρέω Ζηνὸς νόον αἰγιόχοιο·
ῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.
Ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο, [281] 661

ingentia rura, Exiguum co-
GRAEVIUS.

3. Eustath. Il. Γ. p. 427 = 324, ἰήτης αὐτὸς ὁ ἄνεμος, ὁ ἄλλως ως τῷ ἀνέμῳ συνδυαζόμενος ετικῶς, ὡς δηλοῖ καὶ Ἡσίοδος ς λέγων ἀνέμων, ἤτοι πνοάς. lunt. ἀνέμοιο.

5. τρέψας. Sic edd. vett. Mapars codicum τρέψῃς, et in imo versu alii βούλεαι δὲ χ. τ. ρυγεῖν, alii βούληαι δὲ χ. τ. εῖν. Si τρέψας praefers, delenerit δὲ ante χρέα, potius quam nm Guieto. Nonnulli MSS. ἀτερπέα λιμόν.

6. λέξω Eustathius ad Dionys. et mox idem οὐδέ τι νηῶν.

7. δεδιδαγμένος D. textu. σεσοιένος pro v. l. Conf. Clement. . Str. I. p. 330. Narrationem Chalcide, et certamine apud hidamantem, suspectam habPlutarchus, teste Proclo. Qui spectat, Themistium Or. XXX. citabo ad Theog. 50.

651. Citat Eustath. Il. Γ. p. 385 = 291, pen. ob Τροίην καλλιγυναῖκα.

653. προπεφασμένα e MS. Viteberg. probavit Hermannus ad Orphic. p. 757. πεφραδμένα Aug.

654. μεγαλήτορος cum gl. οἱ υἱοὶ τοῦ μεγάλου ἀμφιδάμαντος· Gal.

655. Monet Proclus quosdam scribere "Τμνῳ νικήσαντ' ἐν Χαλκίδι θεῖον "Ομηρον, qui non sunt audiendi. Decisum enim jam est et constitutum ab iis, qui temporum rationes descripserunt, Hesiodum minorem esse Homero centum quasi annis, nec potuisse cum eo de palma certare. GRAEVIUS.

657. "Ενθα. Ἑλικῶνι scilicet, quod e praegresso Ἑλικωνιάδεσσι cogitatione supplendum.

658. πεπείραμαι Gal. 660. πεπείρημαι codd. quidam. citat Eustath. ad Dionys. 1181.

ἐς τέλος ἐλθόντος θέρεος, καματώδεος ὥρης,
ὡραῖος πέλεται θνητοῖς πλόος· οὔτε κε νῆα
ναυάξαις, οὔτ' ἄνδρας ἀποφθίσειε θάλασσα,
εἰ μὴ δὴ πρόφρων γε Ποσειδάων ἐνοσίχθων [285] 665
ἢ Ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλησιν ὀλέσσαι.
ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε.
τῆμος δ' εὐκρινέες τ' αὖραι, καὶ πόντος ἀπήμων,
ἥκηλος· τότε νῆα θοὴν ἀνέμοισι πιθήσας
ἑλκέμεν ἐς πόντον, φόρτον δ' ἐν πάντα τίθεσθαι, [290] 670
σπεύδειν δ', ὅττι τάχιστα πάλιν οἰκόνδε νέεσθαι·
μηδὲ μένειν οἰνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον,
καὶ χειμῶν' ἐπιόντα, Νότοιό τε δεινὰς ἀήτας,
ὅς τ' ὥρινε θάλασσαν ὁμαρτήσας Διὸς ὄμβρῳ
πολλῷ, ὀπωρινῷ· χαλεπὸν δέ τε πόντον ἔθηκεν. [295] 675
ἄλλος δ' εἰαρινὸς πέλεται πλόος ἀνθρώποισιν·
ἦμος δὴ τὸ πρῶτον ὅσον τ' ἐπιβᾶσα κορώνη
ἴχνος ἐποίησεν, τόσσον πέταλ' ἀνδρὶ φανείη
ἐν κράδῃ ἀκροτάτῃ· τότε δ' ἄμβατός ἐστι θάλασσα.
εἰαρινὸς δ' οὗτος πέλεται πλόος. οὔ μιν ἔγωγε [300] 680
αἰνημ'· οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένος ἐστίν,
ἁρπακτός· χαλεπῶς κε φύγοις κακόν· ἀλλά νυ καὶ τὰ
ἄνθρωποι ῥέζουσιν ἀϊδρείῃσι νόοιο·
χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι.
δεινὸν δ' ἐστὶ θανεῖν μετὰ κύμασιν· ἀλλά σ' ἄνωγα [305] 685
φράζεσθαι τάδε πάντα μετὰ φρεσίν, ὅσσ' ἀγορεύω,
μηδ' ἐνὶ νηυσὶν ἅπαντα βίον κοίλῃσι τίθεσθαι·
ἀλλὰ πλέω λείπειν, τὰ δὲ μείονα φορτίζεσθαι.
δεινὸν γὰρ πόντου μετὰ κύμασι πήματι κύρσαι,

665. *εἰ δὴ μὴ* Med. Voss. 1. Gal.

668. Eustath. ad Il. Ξ. p. 965, 3 = 948, 36. Ὁ δὲ ἐν *Διὸς ἦγουν ἀέρος κεκριμένος οὖρος*, ὁ αὐτός ἐστι τῇ *εὐκρινεῖ αὔρᾳ*, ἧς χρῆσις καὶ παρ' Ἡσιόδῳ, ἐν τῷ, εὐκρινέες αὖραι, αἷς ἐναντίαι εἰσὶν αἱ συγκεχυμέναι καὶ ἄπαικτοι.

670. *φόρτον τ'* Med.

678. *πέτηλ'* Gal.

682. *καὶ νόν*, sc. *πλόον*, praetulit Bruncknius e MS. Paullo ante *γε φύγῃς* Gal. *γε* Med.

683. *ἀϊδρίῃσι* Aug. Med.

685. *κατὰ κύμασι* Med. Gal. sed hic habet *μετὰ* pro v. l.

686. *ὥς σ' ἀγορεύω*. Bodl. Coisl. Aug. Ac. Pal. edd. quaedam. *ὡς ὠγορεύω* D. E. Voss. 2. Gal. *ὅς τι κελεύω* unus ex Palatinis. *ὡς ἀγορεύω* scribendum censet Schaeferus ad Sophocl. Oed. Col. 1124.

689. Graevius e Voss. 1. dedit *πήματι*.

ν δ' εἴ κ' ἐφ' ἅμαξαν ὑπέρβιον ἄχθος ἀείρας [310] 690
κ ναυάξαις, τὰ δὲ φορτί' ἀμαυρωθείη.
ε φυλάσσεσθαι, καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.
ος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι,
τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων, [314] 694
ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος,
γυνὴ τέτορ' ἡβῴοι, πέμπτῳ δὲ γαμοῖτο.
ενικὴν δὲ γαμεῖν, ἵνα ἤθεα κεδνὰ διδάξῃς.
δὲ μάλιστα γαμεῖν ἥτις σέθεν ἐγγύθι ναίει·
ᾳ μάλ' ἀμφὶς ἰδὼν, μὴ γείτοσι κάρματα γήμῃς.
ἐν γάρ τι γυναικὸς ἀνὴρ λῆξει' ἄμεινον [320] 700
ἰγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,
ολόχης· ἥτ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
ἄτερ δαλοῦ, καὶ ὠμῷ γήραϊ δῶκεν.
Εὖ δ' ὅπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.
κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον· [325] 706

. εἰ κ' ἐφ' ἅμαξαν. γρ. ἐπ' κν ἀττικῶς. Gal. ἐπ' ἅμαξαν.

, καὶ φόρτι' Med. Gal. Mox ἐπὶ pro ποτὶ Gal. Junt. Pr.
— 696. Stobaeus LXIX. p.

. τριήκοντα edd. Pr. Junt. Voss. 2. Gal. pro v. l. et e, probantibus Guieto et Da- Misc. Cr. p. 178. τριηκόντων Callimacho apud Etymolog. . Λύσιν. Fr. Bentl. LXVII. ostro citant Plutarch. II. p. A. Eustathius Il. Δ. p. 97 =

5. ὡραῖος Gal.
6. ἡβῴοι Voss. 2. Gal. Ac. D. n. Junt. 1. 2. cum Etymolog. . 754, 10. Plutarch. in ed. Vulg. ἡβῴη habet Pollux I. Vide Porphyrium in Schol. ;. Il. Κ. 452. Mox γαμείσθω

7 et 699. Stobaeus LXVIII. p. pbi 699. MS. apud Brunckium ατα νείμῃς. Priorem versum nt Aristoteles Oecon. I. 4. p. Aristides T. II. p. 53 = III.

65. ex quibus dedi ἵνα ἤ pro vulg. ὡς κ' ἤ.

700. οὐδὲν γάρ τι Voss. 1. Sed vulg. habet Clemens Alex. Strom. IV. p. 744.

702. δειπνολόχου e MS. Stobaei LXVII. p. 423. dedit Brunckius. Sic et Zonaras p. 479. Etymolog. M. p. 262, 48. Δειπνολόχος, κλεπτοφόρος. Καὶ Ἡσίοδος, γυναικὸς δειπνολόχης, τῆς κακὰ λοχούσης, τῆς λάθρα ἐσθιούσης, καὶ μὴ φανερῶς· ἥτις χωρὶς δαλοῦ τὸν ἄνδρα καίει, καὶ γηράσαι πρὸ ὥρας ποιεῖ. Eustath. Od. Δ. p. 1508 = 184, 35. δειπνολόχη γυνὴ λέγεται ἡ ἁπλῶς ἐνεδρεύουσα τοῖς βρώμασι. Vide ad Theognidem v. 11.

703. καὶ ἐν οἴμῳ γήραϊ θῆκεν Voss. 2. in marg. Plutarchus II. p. 527. A. et Stobaeus: h. l. forsan confundentes cum Homeri Od. O. 356. Hanc vero receptae lectioni unice praeferendam censet Graevius. Priora citat Eustathius Il. Δ. p. 864, 54 = 810, 12. N. 954, 51 = 906, 5.

704. Stobaeus Ecl. Phys. I. p. 8.

705. Plutarch. II. p. 491. A.

εἰ δέ κε ποιήσῃς, μή μιν πρότερος καλὸν ἔρξῃς·
μηδὲ ψεύδεσθαι γλώσσης χάριν· εἰ δέ κεν ἄρχῃ
ἢ τι ἔπος εἰπὼν ἀποθύμιον, ἠὲ καὶ ἔρξας,
ὅις τόσα τίννυσθαι μεμνημένος· εἰ δέ κεν αὖθις
ἤγητ' ἐς φιλότητα, δίκην δ' ἐθέλῃσι πάρασχεῖν, [330] 710
δέξασθαι· θειλός τοι ἀνὴρ φίλον ἄλλοτε ἄλλον
ποιεῖται, σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.
μηδὲ πολύξεινον, μηδ' ἄξεινον καλέεσθαι,
μηδὲ κακῶν ἕταρον, μηδ' ἐσθλῶν νεικεστῆρα.
μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ [335] 715
σῷ τλαῦ' ἀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων·
γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.
εἰ δὲ κακὸν εἴποις, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.
μηδὲ πολυξείνοιό δαιτὸς δυσπέμφελος εἶναι, [340] 720
ἐκ κοινοῦ· πλείστη δὲ χάρις, δαπάνη τ' ὀλιγίστη.
μηδέ ποτ' ἐξ ἠοῦς Διὶ λείβειν αἴθοπα οἶνον
χερσὶν ἀνίπτοισιν, μηδ' ἄλλοις ἀθανάτοισιν.
οὐ γὰρ τοὶγε κλύουσιν, ἀποπτύουσι δέ τ' ἀράς.

η
706. κεν ποιήσεις Gal. πρότερον
ς
Aug. Bodl. E. Junt. πρότερον Gal.

707. δέ σε γ' Gal. Med. et voluisse videtur Junt. ubi δέ κε γ'.

708. γ' εἰκὼν ed. Trinc. τ' recentiores post Graevium, qui particulam intulit minus recte e Voss. 2. Equidem auctoritate MSS. complurium et edd. vett. expunxi.

709. δέ σε γ' αὖθις Med.

710. ἤγειτ' Gal. E. duo Bodl. Junt. Trinc.

711. θεειλός τις Junt. τ' ἄλλον Gal.

[713. μήτε — μήτ' Aristot. Eth. Nic. p. 424. ed. Zell. Ed. Lips.]

714. νεικητῆρα Med. Voss. 1, 3. cum Schol. Pindari Pyth. IV. 507. νεικητῆρα Gal. Sed vulg. defendit Eustathius a Graevio citatus.

715. Stobaeus XCIV. p. 518. CXI. p. 582. Etymolog. M. p. 641, 22.

717. 718. Stobaeus XXXVI. p. 216. Hunc locum Latine fecit Gellius N. A. I. 15. *Hesiodus Poëtarum prudentissimus linguam non vulgandam, sed recondendam esse dicit, perinde ut thesaurum; eiusque esse in promendo gratiam plurimam, si modesta, et parca, et modulata sit.* Sed aut Gellius non intellexit quid sit κατὰ μέτρον ἰοῦσα, quod non est *modulata*, sed *modum tenens*, quae coërcet et reprimit effrenem loquacitatem, ἀχαλίνους λόγους, inanem futilitatem, quae μέτρα φυλάσσει in loquendo; aut forsan scripsit, *et parca et moderata sit.* Graevius.

719. κ' εἴπῃς MSS. quidam.
οις αις
εἴπῃς Gal. ἀκούσεις Gal.

720. δυσπέμφελος hic interpretatur Eustathius δύσχολος, δυσπαράπεμπτος. Vide supra ad v. 616. Hunc versum et seq. laudat Athenaeus VIII. p. 364. D. ubi δυσπέμφελον et πλείστη τε.

724. γὰρ δ' οἵ γε Gal. τὰς ἀράς Med.

ἄντ' ἠελίοιο τετραμμένος ὀρθὸς ὀμιχεῖν· [345] 725
ῳ ἐπεί κε δύῃ, μεμνημένος, ἔς τ' ἀνιόντα,
ἐν ὁδῷ, μήτ' ἐκτὸς ὁδοῦ προβάδην οὐρῆσῃς,
ἀπογυμνωθείς· μακάρων τοι νύκτες ἔασιν·
νος δ' ὅγε θεῖος ἀνὴρ πεπνυμένα εἰδὼς,
ε πρὸς τοῖχον πελάσας εὐερκέος αὐλῆς. [350] 730
αἰδοῖα χερσὶ πεπαλαγμένος ἔνδοθεν οἴκου
ἐμπεladὸν παραφαινέμεν, ἀλλ' ἀλέασθαι.
ἀπὸ δυσφήμοιο τάφου ἀπονοστήσαντα
μαίνειν γενεὴν, ἀλλ' ἀθανάτων ἀπὸ δαιτός.
ποτ' ἀενάων ποταμῶν καλλίῤῥοον ὕδωρ [355] 735
ὲ περῶν, πρὶν γ' εὐχῇ ἰδὼν ἐς καλὰ ῥέεθρα,
ις νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ.
οταμὸν διαβῇ, κακότητι δὲ χεῖρας ἄνιπτος,
θεοὶ νεμεσῶσι, καὶ ἄλγεα δῶκεν ὀπίσσω.
ἀπὸ πεντόζοιο θεῶν ἐνὶ δαιτὶ θαλείῃ [360] 740
ἀπὸ χλωροῦ τάμνειν ἄῤῥωνι σιδήρῳ.
ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὑπερθεν
ντων, ὅλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται,
δόμον ποιῶν, ἀνεπίξεστον καταλείπειν,
ι ἑφεζομένη κρώζῃ λακέρυζα κορώνη. [365] 745
ἀπὸ χυτροποδῶν ἀνεπιῤῥέκτων ἀνελόντα
ιν, μηδὲ λόεσθαι· ἔπει καὶ τοῖς ἔνι ποινή.
ἐπ' ἀκινήτοισι καθίζειν (οὐ γὰρ ἄμεινον)

. *ἠελίου* Gal. v. Hermannum rphica p. 757.
. *ἐπήν κε δύῃ* Graevius e MSS. : Trinc. In fine *ἀνιόντος* co- n pars, cum Trinc.
. *προβάδην* ex h. l. citat Pol- II. 93.
. *μήτ'* Med. D. Gal. alii *μήδ'*. Schol. Victor. ap. Heyn. ad er. vol. VI. p. 629. Ed. Lips.]
. *εὐεργέος* Gal.
. *πεπαλαγμένον* cum Gl. *με- μένον* Gal. ibid. *ἔνδοθι*.
. Vide Plutarch. T. II. p. A.
. *Σπερμαίνειν, τὸ παιδοποιεῖν.* δος. Etymol. p. 723, 16. MS.
ill. Compendium *η* librario- alicujus vel editoris primi di- tiam effugit. Vide ad Theo- 709.
. Ante h. v. in E. Gal. Pr. Trinc. Steph. *μήδ' ἐπὶ κρη- κ. τ. λ.* cf. Inff. 756.
. 740. Etymolog. M. p. 127, 41. *Πενταάκλαδος ἡ χειρ· μὴ ὀνυχίσῃς, φησὶν, ἐν ἑορτῇ ἑηρὸν ὄνυχα· χλω- ρὸν δὲ, τὸ ζωτικὸν αἷμα· ἀσεβὲς γὰρ τὸ ὀνυχίζεσθαι ἐν ἑορτῇ θεῶν.* V. Zonaras p. 243. Plutarch. II. p. 552. E. *ἐν* Gal.
741. Suidas v. *Ἄδον*. Gal. *ἄῤῥοπι. γρ. ἄῤῥονι*, et mox *κρατῆρος*.
742. Plutarch. II. p. 28. B. 156. D. Lege Wyttenbach. ad priorem locum.
745. *κρώξῃ* Gal.
746. Plutarchus Sympos. VII. p. 703. D. in fine *ἀφελόντα* Pollux X. 99.
748. Etymologus M. p. 48, 56. in MS. Dorvill. *Ἀκίνητα· μηδ' ἐπ' ἀκινήτοισι καθίζειν· σημαίνει ὡς ἐντεῦθα τὸν τάφον· νόμος γὰρ παρὰ Ῥωμαίοις, τάφον μὴ κινεῖν, τοῦτέστιν ὀρύττειν.* Conf. Eustath. Il. B. p. 349, 4 = 264, 12.

παῖδα δυωδεκαταῖον, ὅτ' ἀνέρ' ἀνήνορα ποιεῖ·
μηδὲ δυωδεκάμηνον. ἴσον καὶ τοῦτο τέτυκται.
μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι,
ἀνέρα· λευγαλέη γὰρ ἐπὶ χρόνον ἔστ' ἐπὶ καὶ τῷ
ποινή· μηδ' ἱεροῖσιν ἐπ' αἰθομένοισι κυρήσας,
μωμεύειν ἀΐδηλα· θεὸς νύ τι καὶ τὰ νεμεσσᾷ.
μηδέ ποτ' ἐν προχοῇ ποταμῶν ἅλαδε προρεόντων,
μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι·
μηδ' ἐναποψύχειν· τὸ γὰρ οὔτοι λώϊόν ἐστιν
ὧδ' ἕρδειν· δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην.
φήμη γάρ τε κακὴ πέλεται, κούφη μὲν ἀεῖραι
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.
φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
λαοὶ φημίξουσι· θεὸς νύ τις ἐστὶ καὶ αὐτή.

ΗΜΑΤΑ δ' ἐκ Διόθεν πεφυλαγμένος, εὖ κατὰ μοῖραν
πεφραδέμεν δμῳῆσσι. τριηκάδα μηνὸς ἀρίστην
ἔργα τ' ἐποπτεύειν, ἠδ' ἁρμαλιὴν δατέασθαι,
αὐτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσιν.
αἵδε γὰρ ἡμέραι εἰσὶ Διὸς παρὰ μητιόεντος.
πρῶτον ἔνη, τετράς τε, καὶ ἑβδόμη, ἱερὸν ἦμαρ·
τῇ γὰρ Ἀπόλλωνα χρυσάορα γείνατο Λητώ.
ὀγδοάτη τ' ἐνάτη τε δύω γε μὲν ἤματα μηνὸς
ἔξοχ' ἀεξομένοιο βροτήσια ἔργα πένεσθαι.
ἑνδεκάτη τε, δυωδεκάτη τ', ἄμφω γε μὲν ἐσθλαί,

749. Versus sic transponendos censet Heinsius: *Μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι Παῖδα δυωδεκαταῖον, ὅτ' ἀνέρ' ἀνήνορα ποιεῖ, Μηδὲ δυωδεκάμηνον· ἴσον καὶ τοῦτο τέτυκται Ἀνέρι.*

750. ἴσον γὰρ καὶ Gal. Sequentem v. citat Clemens Alex. Paedag. III. 5. p. 272.

754. θεὸς τοι κ. τ. λ. Coisl. Aug. D. Ald. Junt. Trinc. νύ τοι Gal.

756. V. Plutarch. de Stoic. Repugn. II. p. 1045. A.

757. οὔ τι Gal. de v. ἐναποψύχειν vid. Etymolog. M. p. 337, 31. Eustath. Il. Δ. 866, 17 = 812, 5.

758. Etymologus M. p. 60, 15. Ἀλεύω, φεύγω. Παρὰ τὴν ἀλέαν τὴν θέρμην, ἀλεῶ, καὶ ἀλεύω, κυρίως τὸ ἀπὸ τοῦ ψύχους εἰς θερμασίαν ἀποφεύγω· μεταφορικῶς δὲ, καὶ τὸ ἁπλῶς ἐκκλίνω ἀπὸ τοῦδε εἰς τόδε· καὶ Ἡσίοδος κ. τ. λ.

761. Brunckius e suo MS. dedit φημίξουσι, aliis MSS. et ed. Trinc. consentientibus. In Aeschine c. Timarchum p. 141. Reisk. ubi editio φημίζουσι, MS. Helmstad. φημίξουσι, duo alii φημίζωσι. In Aristide T. II. p. 150. MSS. φημίξουσι vel φημίζωσι. ed. Junt. φημίξωσι. Jebb. φημίζωσι. Aristoteles Ethic. Nicom. VII. 14. Eudem. VI. 13. φήμη δ' οὔτε γε π. α. η. λαοὶ πολλοὶ φημίζωσιν. Pr. Θ. νύ τοι.

765. Hesych. Ἁρμαλιὴν· τὴν τροφήν· παρὰ τὸ ἁρμόζειν καὶ ἁρμοστεῖν τὰ μέλη.

766. H. e. tempus diei, quod vocatur πληθουσα ἀγορὰ, frequens forum, quando jus dicitur; hoc vero est ἀληθείην κρίνειν. Scaliger.

768. Citat Clemens Alex. Strom. V. p. 713. Conf. Valckenaerii Diatr. de Aristobulo §. XXXV.

770. Zonaras p. 433. γέμει· ἐγένοντο, Ἡσίοδος. Ὀγδοάτη δ' κ. τ. λ.

ἡ μὲν, ὅτις πείκειν, ἡ δ' εὔφρονα καρπὸν ἀμᾶσθαι.
ἡ δὲ δυωδεκάτη τῆς ἐνδεκάτης μέγ' ἀμείνων.
τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης
ἥματος ἐκ πλείου, ὅτε τ' Ἶδρις σωρὸν ἀμᾶται.
τῇ δ' ἱστὸν στήσαιτο γυνὴ, πρυμάλοιτό τε ἔργον.
μηνὸς δ' ἱσταμένου τρισκαιδεκάτην ἀλέασθαι
σπέρματος ἄρξασθαι· φυτὰ δ' ἐνθρέψασθαι ἄριστη.
ἕκτη δ' ἡ μέσση μάλ' ἀσύμφορός ἐστι φυτοῖσιν,
ἀνδρογόνος δ' ἀγαθὴ· κούρῃ δ' οὐ σύμφορός ἐστιν,
οὔτε γενέσθαι πρῶτ', οὔτ' ἄρ γάμου ἀντιβολῆσαι·
οὐδὲ μὲν ἡ πρώτη ἕκτη, κούρῃσι γενέσθαι
ἄριενος, ἀλλ' ἐρίφους τ' ἀμνειὸν καὶ πώεα μήλων,
σηκόν τ' ἀμφιβαλεῖν ποιμνήϊον, ἦπιον ἦμαρ.
ἑβδὴ δ' ἀνδρογόνος· φιλέει δέ τε κέρτομα βάζειν,
ψευδεά θ', αἱμυλίους τε λόγους, κρυφίους τ' ὀαρισμούς.
μηνὸς δ' ὀγδόῃ κάπρον καὶ βοῦν ἐρίμυκον
ταμνέμεν, οὐρῆας δὲ δυωδεκάτῃ ταλαεργούς.
εἰκάδι δ' ἐν μεγάλῃ, πλέῳ ἤματι, ἴστορα φῶτα
γεινασθαι· μάλα γάρ τε νόον πεπυκασμένος ἐστὶν.
ἑβδὴ δ' ἀνδρογόνος δεκάτη, κούρῃσι δὲ τετρὰς
μέσση. τῇ δέ τε μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς,
καὶ κύνα καρχαρόδοντα καὶ οὐρῆας ταλαεργοὺς
πρηῦνειν, ἐπὶ χεῖρα τιθείς. πεφύλαξο δὲ θυμῷ
τετράδ' ἀλεύασθαι φθινοντός θ' ἱσταμένου τε
ἄλγεα θυμοβορεῖν· μάλα τοι τετελεσμένον ἦμαρ.
ἐν δὲ τετάρτῃ μηνὸς ἄγεσθαι ἐς οἶκον ἄκοιτιν,
οἰωνοὺς κρίνας, οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι·
πέμπτας δ' ἐξαλέασθαι, ἐπεὶ χαλεπαί τε καὶ αἰναί.
ἐν πέμπτῃ γάρ φασιν Ἐρινύας ἀμφιπολεύειν,

775. Schol. Theocrit. V. 98.

775. Thomas Magister: Ἀράχνη, τὸ ὕφασμα· ἀράχνιον, τὸ νῆμα· ἀράχνης τὸ ζῷον. Vide Suidam in Ἀράχνη. Idem v. νεῖν. — τοῦ δὲ νεῖν, ἤτοι νήθειν, ἡ χρῆσις παρ' Ἡσιόδῳ, ἐν τῷ, Τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης. τινὲς δὲ τὸ νεῖ νήματα διὰ τοῦ η ἔγραψαν, ὡς ἀποκοπὲν ἐκ τοῦ νήθει. Πλὴν καὶ οὕτως ἡ ἀναλογία τὸ νῶ εἰς νεῖ· οἷδε πρωτότυπον· ἐξ οὗ παράγωγον τὸ νήθω· ὡς κνῶ, κνήθω, σῶ, σήθω. cf. Etymologus p. 135, 1. Eustath. Il. Γ. p. 420 = 518, ult. Τ. 1312, 4 = 1429, 24.

776. Ἶδρις, ὁ μύρμηξ, παρὰ Ἡσιόδῳ, ὅτε τ' ἰ. σ. ἀ. σωρὸν τὸν καρπὸν λέγει. Zonaras p. 1086.

779. σπέρματα δάσασθαι Voss. 1. et 2. pro v. l. ἐνθρέψασθαι duo MSS. Bodl. Pr. Junt. 1. 2.

780. Conf. Pollux I. 65.

781. ἀνδρογόνος δ'. Med. Aug. Ac. Trinc. Alii τ'.

782. ἄρ. Mihi magis placeret αὖ.

783. κούρῃσι. Ita Graevius e Voss. 1. Alii κούρῃ τε. Infra 792. idem κούρῃσι δὲ pro vulg. κούρῃ δέ τε.

786. φιλέοι δέ κε κέρδεα Trinc.

791. γεινασθαι· μάλα Graevius e MSS. et edd. quibusdam. γίνεσθαι· μάλα — πεπυκασμένος Trinc. et pauci alii.

798. ἄγεσθαι δ' Ald. ἄγεσθαι δὲ Pr. Junt. ἄγεσθ' εἰς Trinc. Med.

Ὅρκον τινυμένας τὸν Ἔριν τέκε πῆμ' ἐπιόρκοις. [40]
μέσσῃ δ' ἑβδομάτῃ Δημήτερος ἱερὸν ἀκτὴν
εὖ μάλ' ὀπιπτεύοντα εὐτροχάλῳ ἐν ἀλωῇ
βάλλειν. ὑλοτόμον τε ταμεῖν θαλαμήϊα δοῦρα,
νηΐά τε ξύλα πολλὰ, τά τ' ἄρμενα νηυσὶ πέλονται.
τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς. [45]
εἰνὰς δ' ἡ μέσση ἐπιδείελα λωΐον ἦμαρ.
πρωτίστη δ' εἰνὰς παναπήμων ἀνθρώποισιν·
ἐσθλὴ μὲν γάρ θ' ἥδε φυτευέμεν ἠδὲ γενέσθαι
ἀνέρι τ' ἠδὲ γυναικὶ· καὶ οὔποτε πάγκακον ἦμαρ.
παῦροι δ' αὖτε ἴσασι τριακάδα μηνὸς ἀρίστην [50]
ἄρξασθαί τε πίθου, καὶ ἐπὶ ζυγὸν αὐχένα θεῖναι
βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσι,
νῆα πολυκλήϊδα θοὴν εἰς οἰνοπα πόντον
εἰρύμεναι· παῦροι δέ τ' ἀληθέα κικλήσκουσι.
τετράδι δ' οἶγε πίθον· περὶ πάντων ἱερὸν ἦμαρ [55]
μέσση· παῦροι δ' αὖτε μετ' εἰκάδα μηνὸς ἀρίστην,
ἠῶϊ γινομένης· ἐπιδείελα δ' ἐστὶ χερείων.
αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ.
αἱ δ' ἄλλαι, μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι.
ἄλλος δ' ἄλλοίην αἰνεῖ, παῦροι δέ τ' ἴσασιν. [60]
ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ·
τὰων εὐδαίμων τε καὶ ὄλβιος, ὃς τάδε πάντα
εἰδὼς ἐργάζηται ἀναίτιος ἀθανάτοισιν,
ὄρνιθας κρίνων, καὶ ὑπερβασίας ἀλεείνων.

802. Ὅρκον γεινόμενον Voss. 1. Med.

804. ὀπιπεύοντα Med. v. supra 29. ὀπιπτεύοντας Trinc.

806. ἄρματα Med. τά θ' ἅρμενα Trinc. ubi sequitur τῆμος ἀδικοτάτη π. τ. σ. v. supr. 418.

810. φυτεύειν Pr. Ald. Junt. et codicum pars.

816. παῦροι—κικλήσκουσι· *Pauci veracem dicunt.* Inde Virgilius ait illum diem esse contrarium furtis, *Nona fugae melior, contraria furtis.* Furibus enim fraudi est veritas. Hic est hujus loci sensus, quem et Salmasius ὁ πάνυ vidit. Graevius. Mox ex Voss. 1. dedit Graevius μεσσήν· παῦροι δὲ μετ' εἰκάδα μ. ἀ. Trinc. μεσσήην· παῦροι δὲ μετ' ἐ.

821. Μετάδουποι sunt μεταξὺ πίπτουσαι, dies *intercidentes* qui inter faustos et infaustos volvuntur. Vulgo *incerti* vertunt. Δουπέω est πίπτω. Graevius.

822. Stobaeus Serm. CIII, p. 562.

823. Suidas v. Ἄλλος. Eustath. Il. Ε. p. 560.

826. Ex Hesiod. citat Eust. Il. Ψ. p. 1318, 8 = 1457, 44. ὑπερβασίαι δ' ἀλεγειναί. Locus non exstat in integris carminibus.

ΗΣΙΟΔΟΥ

ΘΕΟΓΟΝΙΑ.

Excerptum ex Epistola Godof. Hermanni ad Car. Dav. Ilgenium Hymnorum Homericorum editioni Lips. 1806. praemissa.

HESIODI Theogoniam hymnosque Homeri et Batrachomyomachiam alii poetae nunc addendo, nunc detrahendo, nunc mutando, pronti cuique consilium, quod ipse habebat, postulare videbatur, interpolaverant: quae carmina si sic interpolata ad nostram aetatem pervenissent, profecto nulla ex parte facilius esset interpolatoris verba ab antiqui poetae dictis distinguere, quam in Iliade et Odyssea. Sed magno fortunae beneficio factum est, ut in plurimis locis simul et veterem carminum istorum formam, et ea, quae interpolatorum sunt, habeamus. Librarii enim, qui diversas illorum poematum recensiones ante oculos habebant, quum eas multis in locis congruere inter se animadverterent, eas recensiones, ut labori parcerent, in unum corpus conjunxerunt, semel scribentes, quae diversarum recensionum communia essent. Quamquam sic quoque factum est, ut hic illic aliquid sive de antiquioris poetae verbis, sive de mutationibus et additamentis interpolatorum interiret, maxime si non toto versu, sed hemistichio tantum, vel alia leviori re inter se discreparet diversorum poetarum oratio. Quod etsi valde dolendum est critico, quem ea res nunc ad periculosam conjectandi necessitatem compellit, nunc etiam omnino incertum reddit: nihil tamen impedit, quin ipsam de pluribus recensionibus disputationem, quoad licet, persequatur. Equidem Batrachomyomachiam hic plane praetermittam, quae minoris momenti est, quam ut in ea longius morari velim. Ejus carminis varias lectiones qui consideraverit, sponte intelliget, non versus quosdam tamquam spurios expelli debere, sed plures constituendas esse Batrachomyomachias, quarum multa communia, alia diversa sint. Theogoniae

recensiones, quas in unum corpus conjunctas habemus, numerari posse septem puto, si e prooemio, quod ex multis fragmentis constare jam alii viderunt, satis tuta potest conjectura peti. Ipsum enim opus eo est argumento, ut, quum magnam partem perpetuitate narrationis careat, non multum praesidii ad istam conjecturam conferre possit. Quamquam quum in his locis, quibus nihil praeter deorum origines continetur, quaedam vel aperte sibi repugnant, vel ipsa re ab aetate Hesiodi ahorrent, tum vero magis etiam illae partes, quae majorem ornatum admittunt, sententiam nostram eximie confirmant. Ut unum saltem exemplum afferam, quis sibi persuadebit, quae versu 727. leguntur,

αὐτὰρ ὕπερθεν
γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης,

quaeque deinde scripta inveniuntur v. 736.

ἔνθα δὲ γῆς δνοφερῆς καὶ ταρτάρου ἠερόεντος,
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
ἀργαλέ' εὐρώεντα, τά τε στυγέουσι θεοὶ περ,

horumque versuum repetitionem v. 807. quis igitur sibi persuadebit, haec ab eodem poeta cani potuisse? Immo omnis ista inferni descriptio ne e duabus quidem aut tribus recensionibus tam potuit ampla et copiosa enasci. Quamquam non omnia in hoc genere in claram lucem protrahi poterunt, propterea quod multa interpolatorum additamenta, ut e Galeno cognoscimus, perierunt. Sed redeo ad exordium Theogoniae: quod quoniam, librariis nondum taedio adnotandarum interpolationum captis, satis integrum ad nostram aetatem pervenisse videtur, experiar, Ilgeni, an, quae illo in loco confusa sunt diversorum poetarum prooemia, separari queant. In qua re assentieris mihi, ut spero, haec duo tamquam veri simillima sumenti, primum, omnes illos poetas eodem versu, quem Hesiodi nomen sacraverat, esse exorsos; deinde alius rhapsodi prooemium rursus esse ab aliis rhapsodis interpolatum. Ita haec fere invenientur exordia: primum hoc:

1 Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν
22 αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδήν,
ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὑπὸ ζαθέοιο.
τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπον·

Ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα·
Ἴδμεν δ', εὖτ' ἐθέλωμεν, ἀληθέα μυθήσασθαι.
Ὡς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι,
καί μοι σκῆπτρον ἔδον, δάφνης ἐριθηλέος ὄζον
δρέψασαι θηητόν, ἐνέπνευσαν δέ μοι αὐδὴν
θείην, ὡς κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
καί με κέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων,
σφὰς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστατον αἰὲν ἀείδειν.
ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;
τύνη Μουσάων ἀρχώμεθα, ταὶ Διὶ πατρὶ
ὑμνεῦσαι τέρπουσι μέγαν νόον ἐντὸς Ὀλύμπου,
εἰροῦσαι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
φωνῇ ὁμηρεῦσαι· τῶν δ' ἀκάματος ῥέει αὐδὴ
ἐκ στομάτων ἡδεῖα· γελᾷ δέ τε δώματα πατρὸς
Ζηνὸς ἐριγδούποιο, θεῶν ὀπὶ λειριοέσσῃ
σκιδναμένῃ· ἠχεῖ δὲ κάρη νιφόεντος Ὀλύμπου,
δώματά τ' ἀθανάτων. αἱ δ' ἄμβροτον ὄσσαν ἰεῖσαι,
θεῶν γένος αἰδοῖον πρῶτον κλείουσιν ἀοιδῇ
ἐξ ἀρχῆς, οὓς Γαῖα καὶ Οὐρανὸς εὐρὺς ἔτικτον,
οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἐάων.
δεύτερον αὖτε Ζῆνα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ, λήγουσί τ' ἀοιδῆς,
ὅσσον φέρτατός ἐστι θεῶν, κράτεΐ τε μέγιστος.
αὖτις δ' ἀνθρώπων τε γένος, κρατερῶν τε γιγάντων
ὑμνεῦσαι, τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.

Secundum exordium hoc est:

1 Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
αἵ θ' Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε,
καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσιν
ὀρχεῦνται, καὶ βωμὸν ἐρισθενέος Κρονίωνος,
11 ὑμνεῦσαι Δία τ' αἰγίοχον καὶ πότνιαν Ἥρην,
Ἀργείην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
κούρην τ' αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην,
Φοίβον τ' Ἀπόλλωνα, καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἠδὲ Ποσειδάωνα γαιήοχον, ἐννοσίγαιον,
καὶ Θέμιν αἰδοίην, ἑλικοβλέφαρόν τ' Ἀφροδίτην,

Ἥβην τε χρυσοστέφανον, καλήν τε Διώνην,
Λητώ τ', Ἰαπετόν τε, ἰδὲ Κρόνον ἀγκυλομήτην,
Ἠώ τ', Ἠέλιόν τε μέγαν, λαμπρήν τε Σελήνην,
γαῖάν τ', Ὠκεανόν τε μέγαν, καὶ Νύκτα μέλαιναν,
ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.

Sequitur tertium:

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
αἵ θ' Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε,
καί τε λοεσσάμεναι τέρενα χρόα Περμησσοῖο,
ἢ Ἱππουκρήνης, ἢ Ὀλμειοῦ ζαθέοιο,
ἀκροτάτῳ Ἑλικῶνι χοροὺς ἐνεποιήσαντο,
καλοὺς, ἱμερόεντας, ἐπερρώσαντο δὲ ποσσίν.
ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῷ,
ἐννύχιαι στεῖχον, περικαλλέα ὄσσαν ἱεῖσαι
ὑμνεῦσαι Δία τ' αἰγίοχον καὶ πότνιαν Ἥρην,
Ἀργείην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
κούρην τ' αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην,
Φοῖβόν τ' Ἀπόλλωνα, καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἠδὲ Ποσειδάωνα γεήοχον, ἐννοσίγαιον,
καὶ Θέμιν αἰδοίην, ἑλικοβλέφαρόν τ' Ἀφροδίτην,
Ἥβην τε χρυσοστέφανον, καλήν τε Διώνην,
Λητώ τ', Ἰαπετόν τε, ἰδὲ Κρόνον ἀγκυλομήτην,
Ἠώ τ', Ἠέλιόν τε μέγαν, λαμπρήν τε Σελήνην,
Γαῖάν τ', Ὠκεανόν τε μέγαν, καὶ Νύκτα μέλαιναν,
ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.
ταῦτ' ἄρα Μοῦσαι ἄειδον, Ὀλύμπια δώματ' ἔχουσαι,
ἐννέα θυγατέρες μεγάλου Διὸς ἐκγεγαυῖαι,
Κλειώ τ', Εὐτέρπη τε, Θάλειά τε, Μελπομένη τε,
Τερψιχόρη τ', Ἐρατώ τε, Πολύμνιά τ', Οὐρανίη τε,
Καλλιόπη θ', ἥ τε προφερεστάτη ἐστὶν ἁπασέων.
ἣ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
ὅντινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο,
γεινόμενόν τ' ἐσίδωσι διοτρεφέων βασιλήων,
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἔερσην,
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι, διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὃ δ' ἀσφαλέως ἀγορεύων,

αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσεν·
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσιν
ῥηϊδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν.
ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὡς ἱλάσκονται
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν,
οἷά τε Μουσάων ἱερὴ δόσις ἀνθρώποισιν.

versu, qui ante ultimum est, conjicias Odyss. VIII. 170. unde ita hausit, sic esse interpungendum:

οἱ δέ τ' ἐς αὐτὸν
τερπόμενοι λεύσσουσιν — ὁ δ' ἀσφαλέως ἀγορεύει —
αἰδοῖ μειλιχίῃ.

Quartum prooemium his versibus constitisse videtur:

1 Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
53 τὰς ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖσα
Μνημοσύνη, γουνοῖσιν Ἐλευθῆρος μεδέουσα,
λησμοσύνην τε κακῶν, ἄμπαυμά τε μερμηράων.
ἐννέα γάρ οἱ νύκτας ἐμίσγετο μητίετα Ζεὺς,
νόσφιν ἀπ' ἀθανάτων ἱερὸν λέχος εἰσαναβαίνων.
ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
ἡ δ' ἔτεκ' ἐννέα κούρας ὁμόφρονας, ᾗσιν ἀοιδὴ
μέμβλεται, ἐν στήθεσσιν ἀκηδέα θυμὸν ἐχούσης,
τυτθὸν ἀπ' ἀκροτάτης κορυφῆς νιφόεντος Ὀλύμπου,
ἔνθα σφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά·
πὰρ δ' αὐτῇς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν.
68 αἳ τότ' ἴσαν πρὸς Ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ,
ἀμβροσίῃ μολπῇ· περὶ δ' ἴαχε γαῖα μέλαινα
ὑμνεύσῃς, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει
νισσομένων πατέρ' εἰς ὅν· ὃ δ' οὐρανῷ ἐμβασιλεύει,
αὐτὸς ἔχων βροντὴν ἠδ' αἰθαλόεντα κεραυνόν,
κάρτει νικήσας πατέρα Κρόνον· εὖ δὲ ἕκαστα
ἀθανάτοις διέταξεν ὁμῶς, καὶ ἐπέφραδε τιμάς.

Quintum exordium decem priores versus cum quarto prooemio communes habuisse videtur, quorum ultimi duo sic continuabantur in duobus aliis versibus, quibus finiebatur prooemium:

ἡ δ' ἔτεκ' ἐννέα κούρας ὁμόφρονας, ᾗσιν ἀοιδὴ

μέμβλεται, ἐν στήθεσσιν ἀκηδέα θυμὸν ἔχουσης,
ἐν θαλίῃς· ἐρανὴν δὲ διὰ στόμα ὄσσαν ἰεῖσαι
μέλπονται πάντων τε νόμους καὶ ἤθεα πεδυά.

Sextum prooemium ex eodem fonte, unde quintum est, ductum esse puto. Nam in his versibus, qui sunt 65—67.

ἐρανὴν δὲ διὰ στόμα ὄσσαν ἰεῖσαι
μέλπονται πάντων τε νόμους, καὶ ἤθεα πεδυὰ
θνητῶν ἀθανάτων κλείουσιν, ἐπήρατον ὄσσαν ἰεῖσαι,

ultimus versus, qui prioribus pessime junctus est, ad aliud prooemium pertinere debuit. Locus autem, quo est insertus, suadet, ut eum versum pro aliis versibus, qui proxime antecedunt, ab aliquo rhapsodo positum existimemus. Ac veri simile est, prooemium, quod in nostra descriptione quartum est, ita ab illo poeta interpolatum fuisse, ut istum versum cum praegressis hoc fere modo conjungeret:

ἡ δ' ἔτεκ' ἐννέα κοῦρας ὁμόφρονας, ἧσιν ἀοιδὴ
μέμβλεται· ἐν στήθεσσι δ' ἀκηδέα θυμὸν ἔχουσαι
ἀθανάτους κλείουσιν, ἐπήρατον ὄσσαν ἰεῖσαι.

Qui versus quum esset pro varia lectione adscriptus, et quidem eo loco, quo debebat, id est post alias varias lectiones eorum versuum, qui ab interpolatoribus mutati sunt, librarii, ne nexus desideraretur, ex accusativo fecerunt genitivum. Septimum denique exordium, ex quo quatuor versus et unius dimidiam partem habet Homericus hymnus in Musas et Apollinem, ita conformatum erat:

1 Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν·
94 ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθονὶ καὶ κιθαρισταί·
ἐκ δὲ Διὸς βασιλῆες. ὃ δ' ὄλβιος, ὅντινα Μοῦσαι
φίλωνται· γλυκερὴ οἱ ἀπὸ στόματος ῥέει αὐδή.
εἰ γάρ τις καὶ πένθος ἔχων νεοπηδὲς θυμῷ
ἄζηται κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
ὑμνήσῃ, μάκαράς τε θεοὺς, οἳ Ὄλυμπον ἔχουσιν,
αἶψ' ὅγε δυσφρονέων ἐπιλήθεται, οὐδέ τι πηδέων
μέμνηται, ταχέως δὲ παρέτραπε δῶρα θεάων.

Facile intelligitur, in hac Theogoniae prooemiorum descriptione

quaedam etiam aliter constitui posse. Ita quis dubitet, quin hi versus, quibus in primo exordio satis certa sedes est:

αὐτὰρ ὃ ἀνθρώπων τε γένος, κρατερῶν τε γιγάντων
ὑμνεῦσαι τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου,

etiam in fine secundi prooemii apte legi, et inde, verbis *τέρπουσι Διὸς* in *τέρπων Ζηνὸς* mutatis, in tertium recipi potuerint? Utcumque est, illud clarum esse arbitror, tot fere et tales, qualia experimenti causa descripsi, exordia fuisse Theogoniae. Unde non immerito colligimus, in ipso opere totidem rhapsodorum interpolationes occurrere.

ΗΣΙΟΔΟΥ ΤΟΥ ΑΣΚΡΑΙΟΥ

ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ

Μοῦσαων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
αἵθ' Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε,
καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσιν
ὀρχεῦνται, καὶ βωμὸν ἐρισθενέος Κρονίωνος·
καί τε λοεσσάμεναι τέρενα χρόα Περμησσοῖο,
ἢ Ἱππουκρήνης, ἢ Ὀλμειοῦ ζαθέοιο,
ἀκροτάτῳ Ἑλικῶνι χοροὺς ἐνεποιήσαντο
καλούς, ἱμερόεντας· ἐπερρώσαντο δὲ ποσσίν.
ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῇ,
ἐννύχιαι στεῖχον περικαλλέα ὄσσαν ἰεῖσαι,
ὑμνεῦσαι Δία τ' αἰγίοχον, καὶ πότνιαν Ἥρην
Ἀργείην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
κούρην τ' Αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην,

1. Egregia est Hermanni disputatio de interpolationibus quae Hesiodeae Theogoniae prooemium invaserunt. Eam, quam fieri potuit, integram, praefationis loco excerpendam curavi.

3. Etymologus M. p. 475, 11. *Ἡσίοδος· π. κ. ἰοειδέα ἀντὶ τοῦ ἀνθώδη.* Versum hunc et sequentem laudat Lucianus de Salt. 24. T. II. p. 282. V. seq. *ὀρχοῦνται* habet Schol. Victor. Hom. Il. Σ. apud Heynium p. 804. Etymolog. M. p. 604, 4. mendose *λούσαντο.*

[5. Al. *Τερμησσοῖο.* v. Prideaux ad Marm. Ox. 339. Reiz.]

6. Hesychius: *Ἱππουκρήνης τῆς ἐν τῷ Ἑλικῶνι, ἥτις ἀνομάσθη ἀπὸ τοῦ Πηγάσου ἵππου, ὃς διφήσας ἔκρουσε τὴν γῆν τῇ ὁπλῇ· ἡ δὲ τὴν πηγὴν ἀνῆκεν. Ἡσίοδος ἐν τῇ Θεογονίᾳ.*

Ib. *Ὀλμειοῦ.* Minus frequentatur a poetis Olmius, memoratur tamen a Strabone IX. p. 624. *Καὶ ὁ Περμησσός τε καὶ ὁ Ὀλμειὸς ἐκ τοῦ Ἑλικῶνος συμβάλλοντες ἀλλήλοις εἰς τὴν αὐτὴν ἐμπίπτουσι λίμνην τὴν Κωπαΐδα τοῦ Ἀλιάρτου πλησίον.* Wolfius.

9. *πολλῷ* Robinsonus e duobus MSS. et Ald. Sed vulgatum ex usu Homerico defendit Wolfius.

10. Etymolog. M. p. 635., 51. *Ἡσίοδος τὴν πᾶσαν φωνὴν ὄσσαν λέγει.*

Φοῖβόν τ' Ἀπόλλωνα, καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἠδὲ Ποσειδάωνα γαιήοχον, ἐννοσίγαιον,
καὶ Θέμιν αἰδοίην, ἑλικοβλέφαρόν τ' Ἀφροδίτην,
Ἥβην τε χρυσοστέφανον, καλήν τε Διώνην,
Ἠώ τ', Ἠέλιόν τε μέγαν, λαμπράν τε Σελήνην,
Λητώ τ', Ἰαπετόν τε, ἰδὲ Κρόνον ἀγκυλομήτην,
Γαῖάν τ', Ὠκεανόν τε μέγαν, καὶ νύκτα μέλαιναν·
ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.
αἳ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδήν,
ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὑπὸ ζαθέοιο.
τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπον,
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·

Ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα, γαστέρες οἷον,
ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα·
ἴδμεν δ', εὖτ' ἐθέλωμεν, ἀληθέα μυθήσασθαι.

Ὣς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι·
καί μοι σκῆπτρον ἔδον, δάφνης ἐριθηλέος ὄζον,

[16. Plutarch. Quaest. Conv. 9, 15. Ruhn.]

19. Aristides T. II. p. 569 = 636. σκόπει δὲ καὶ Ἡσιόδου φρόνημα, εἰ ἄρα πρότερον μὴ κατεῖδες. Ἐκεῖνος γὰρ ἀρξάμενος τῆς Θεογονίας, καὶ τὰς Μούσας ὑμνῶν, εὐθὺς λέγει, Αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδήν. Καὶ οὕτω σχέτλιος ἦν καὶ ὑβριστὴς, ὥστ' οὐδὲ τοσοῦτον ἐνέμεινεν ἐκτελέσαι τὸ προοίμιον ταῖς θεαῖς· ἀλλὰ λέγων, ὅτι αἱ Μοῦσαι ὑμνοῦσι τὸν Δία, καὶ, Λητώ τε Ἰαπετόν τε ἠδὲ Κρόνον ἀγκυλομήτην, εἶτα οὐ παρτρεχεῖ, ἀλλ' ὀλίγον μεταξὺ τῶν Θεῶν τῶν ὀνομάτων φησὶν, Αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδήν· ὡς εἰ μὴ καὶ τοῦτο δόξει τῶν Μουσῶν ἔργον εἶναι, ὥσπερ τοὺς θεοὺς ᾄδειν οὕτω καὶ Ἡσίοδον ποιητὴν ἀπεργάσασθαι, μοίρᾳ τινὶ αὐταῖς ἀπολλυμένην τῆς εὐφημίας.

22. Huc respexit Ovidius Fast. VI. 13. *Ecce deae vidi, non quas praeceptor arandi Viderat, Ascraeas cum sequeretur oves.* Art. I. 27. *Nec mihi sunt visae Clio Cliusque sorores, Pascenti pecudes vallibus, Ascra, tuis.*

26. Hesychius: Γαστέρες οἷον τροφῆς μόνης ἐπιμελούμενοι· ὡς Ἡσίοδος ἐν Θεογονίᾳ. Atticus scriptor γαστέρες ἄλλως dixisset. Ruhnkenius. Videnet. ad Timaei Lex. p. 109.

28. Antiquorum scholiorum auctor notat in quibusdam libris fuisse γηρύσασθαι, quam lectionem non temere damnem. Sciunt enim qui veterum scripta cum iudicio versarunt, rariora et exquisitiora semper fuisse expuncta, et pro iis supposita trita, et ab usu vulgi minus remota. *Μυθήσασθαι* est alterius glossema. Hesych. γηρύσασθαι, φθέγγεσθαι, λέγειν. Opp. 257. Αὐτίκα παρ Διὶ πατρὶ καθεζομένη Κρονίωνι Γηρύει ἀνθρώποισιν ἄθικτον νόον. Gravius. Causam mutandi nullam videt Wolfius.

29. Etymolog. M. p. 150, 50. Ἀρτιέπειαι· αἱ ἀπηρτισμένα καὶ τέλεια λέγουσαι.

30. Themistius Or. XXX. init. Ἡσίοδος ὁ Ἀσκραῖος, ὃς μετὰ τῆς θάφνης τὴν μουσικὴν παρὰ τῶν Μουσῶν αὐτῶν δέξασθαι λέγεται, τὴν ποίησιν δαψιλῶς εἰς ἡρώων τε καὶ Μουσῶν ἐπαίνους, καὶ τὴν γεωργίαν ἐν τούτοις ἔταξε, τὴν φύ-

δρέψασθαι θηητόν· ἐνέπνευσαν δέ μοι αὐδὴν
θείην, ὡς κλείοιμι τά τ' ἐσσόμενα, πρό τ' ἐόντα.
καί με κέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων,
σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστερον αἰὲν ἀείδειν.
ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;
Τύνη Μουσάων ἀρχώμεθα, ταὶ Διῒ πατρὶ

σιν τε ἐπαινῶν τοῦ πράγματος πᾶσαν, καὶ μαθητὰς τῆς τέχνης ποιούμενος ἡμᾶς· καὶ τοὺς περὶ γεωργίας λόγους τοῖς περὶ ἀρετῆς καταμίξας, ὡς ταὐτὸν ὄν, γεωργίαν καὶ ἀρετὴν δι' ἀλλήλων καὶ ἅμα μαθόντας εἰδέναι. Δεῖ δὲ ἤδη καὶ ἡμᾶς Ἡσιόδῳ καὶ Μούσαις ἀκολουθοῦντας, ἐπιδεῖξαι διὰ πλειόνων, ὡς ἄρα οὐ μάτην Ἡσίοδος σοφὸς ἐνομίσθη· ἀλλ' εἰς τοσοῦτον εὐκλείας διὰ τοὺς εἰς γεωργίαν λόγους προῆλθεν, ὥστε καὶ Ὁμήρῳ περὶ σοφίας καὶ μουσικῆς ἐν ταφαῖς Ἀμφιδάμαντος εἰς ἀγῶνα ἐλθὼν, παρὰ τῶν κριτῶν τὸν στέφανον καὶ τὴν νίκην ἔχειν. Ὁ μὲν γὰρ πολέμους, καὶ μάχας, καὶ τὸν συνασπισμὸν τοῖν Αἰάντοιν καὶ ἄλλα τοιαῦτα προσῇδεν· ὁ δὲ γῆς τε ὕμνησεν ἔργα, καὶ ἡμέρας, ἐν αἷς ἔργα βελτίω γίνεται· καὶ διὰ ταῦτα πᾶσι τοῖς κριταῖς κρατεῖ. Hunc versum adhibent Lucianus Rhet. Praec. 4. T. III. p. 4. Demosth. Enc. 12. T. III. p. 500. Aristides T. II. p. 26 = III. 45.

31. Δρέψασαι emendatio est Jortini post alios citantis Asclepiadae Epigr. Antholog. H. Steph. IV. p. 368. Analect. Brunck. T. I. p. 218. Αὐταὶ ποιμαίνοντα μεσαμβρινὰ μῆλά σε Μοῦσαι Ἔδρακον ἐν κρανασοῖς οὔρεσιν, Ἡσίοδε, Καί σοι καλλιπέτηλον, ἐρυσσάμεναι περὶ πᾶσαι, Ὤρεξαν δάφνας ἱερὸν ἀκρέμονα, Δῶκαν δὲ κράνας Ἑλικωνίδος ἔνθεον ὕδωρ, Τὸ πτανοῦ πώλου πρόσθεν ἔκοψεν ὄνυξ, Οὗ σὺ κορεσσάμενος, μακάρων γένος, ἔργα τε μολπαῖς Καὶ γένος ἀρχαίων ἔγραφες ἡμιθέων. Et sic edidit Wolfius. Veretur tamen Heynius ne usus loquendi et Hesiodeus et Homericus postulet δρεψάμεναι, quod praestat sane Tzetzes p. 2. ed. Heins. Vulgatum δρέψασθαι servat Aristides T. II. p. 370 = 628. κἀγώ φησιν ὁ Ἡσίοδος, τὸ τῶν Μουσῶν μέρος, εἰμὶ τούτων εἷς. Ἐν ὑπερβολῇ δὲ σεμνύνων τὰ ἑαυτοῦ, τί φησιν; δρέψασθαι θηητόν· ὡς οὐδὲ τὸν τυχόντα κλαδίσκον λαβὼν, ἀλλὰ πολλῶν ὄντων, τὸν μάλιστα περίβλεπτον εἶναι σκῆπτρον Ἡσιόδου. Καὶ οὐδ' ἐνταῦθα ἔστη τῆς ὕβρεως, ἀλλ' ὥσπερ σὲ ῥηγνὺς ἐξεπίτηδες προσείθησιν, ἐνέπνευσαν δέ μοι αὐδήν. Καὶ τοῦ μὲν ἔπους ἐτελεύτησε, τοῦ δ' ἐγκωμίου οὐδὲν μᾶλλον, ἀλλὰ καὶ θεσπεσίην πάλιν αὖ προσέθηκε· καὶ τό γ' ἔτι κάλλιον, ὥσπερ οἱ πανταχῇ περίττοι τῶν σοφιστῶν, Ἵνα κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα, καὶ ταύτην εἶναι φύσιν αὐτῶν. Vide Pausan. IX. 30. Nicephorus ad Synesium p. 371. D. φασὶ καὶ τὸν ποιητὴν Ἡσίοδον, πρότερον μὲν ὄντα ποιμένα προβάτων· ἐν μιᾷ δὲ πρὸς ὕπνον παρὰ τὸν Κιθαιρῶνα τὸ ἐν Θετταλίᾳ ὄρος κατακλιθέντα, δόξαι τὰς Μούσας θεάσασθαι, προσελθούσας τε αὐτῷ καὶ δάφνης φύλλῳ ΘΡΕΨΑΣΑΣ αὐτὸν, καὶ ὑπαραχρῆμα ἀφυπνισθέντα εἶναι σοφὸν, καὶ δεξιώτατον ποιητήν.

32. ὡς κλείοιμι. Sic H. Stephanus. ἵνα κλείοιμι cum Aristide Ald. Junt. Bar. Reg. S. ὥστε κλύοιμι Trinc. et aliae quaedam juniores. Conf. Lucian. Disp. cum Hesiod. init. T. III. p. 240. Mox καί μ' ἐθέλονθ' Bar.

34. Usitatius esset πρῶτόν τε καὶ ὕστατον. Wolfius.

36. τύνη. Guietus conjicit τοίνυν improbante Wolfio.

ὑμνεῦσαι τέρπουσι μέγαν νόον ἐντὸς Ὀλύμπου,
εἰρεῦσαι τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα,
φωνῇ ὁμηρεῦσαι· τῶν δ' ἀκάματος ῥέει αὐδὴ
ἐκ στομάτων ἡδεῖα· γελᾷ δέ τε δώματα πατρὸς
Ζηνὸς ἐριγδούποιο θεῶν ὀπὶ λειριοέσσῃ
σκιδναμένῃ· ἠχεῖ δὲ κάρη νιφόεντος Ὀλύμπου,
δώματά τ' ἀθανάτων. αἱ δ' ἄμβροτον ὄσσαν ἰεῖσαι,
θεῶν γένος αἰδοῖον πρῶτον κλείουσιν ἀοιδῇ
ἐξ ἀρχῆς, οὓς Γαῖα καὶ Οὐρανὸς εὐρὺς ἔτικτον,
οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἐάων,
δεύτερον αὖτε Ζῆνα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
ἀρχόμεναί θ' ὑμνεῦσι θεαί, λήγουσί τ' ἀοιδῆς,
ὅσσον φέρτατός ἐστι θεῶν, κράτεΐ τε μέγιστος.
αὖθις δ' ἀνθρώπων τε γένος κραιπνῶν τε γιγάντων
ὑμνεῦσαι, τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου,
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·
τὰς ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖσα
Μνημοσύνη, γουνοῖσιν Ἐλευθῆρος μεδέουσα,
λησμοσύνην τε κακῶν, ἄμπαυμά τε μερμηράων.
ἐννέα γάρ οἱ νύκτας ἐμίσγετο μητίετα Ζεύς,
νόσφιν ἀπ' ἀθανάτων ἱερὸν λέχος εἰσαναβαίνων·
ἀλλ' ὅτε δὴ ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι,
μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
ἡ δ' ἔτεκ' ἐννέα κοῦρας ὁμόφρονας, ἦσιν ἀοιδὴ
μέμβλεται, ἐν στήθεσσιν ἀκηδέα θυμὸν ἐχούσαις,
τυτθὸν ἀπ' ἀκροτάτης κορυφῆς νιφόεντος Ὀλύμπου,

38. Hesychius v. *Εἰρεῦσαι.*
39. Hesychius: *ὁμηρεῦσαι, ὁμοφωνοῦσαι, ὁμοῦ λέγουσαι.* In Etymolog. M. p. 623, 53. recte MS. Dorvill. *ὁμηρεῦσαι.*
41. *Θεῶν* Trinc.
43. *δώματ'* Ald. Junt. Trinc. *δώματα* sine copula Bar.
44. *αἰδοίων* Junt.
45. *γαῖά τε — ἔτικτεν* Junt.
48. *λήγουσί τ' ἀοιδῆς*, sc. *αὐτὸν ὑμνεῦσαι*, quomodo explicat H. Steph. Haec est lectio edd. Ald. Junt. 1. 2. Bar. In Trinc. *λήγουσαι*, inter alios probante Ruhnkenio ad H. H. in Bacchum 9, qui *ἀοιδῆς* putat a veteribus pronunciatum *ᾠδῆς*. [*λήγουσί τ' ἀοιδῇ* Lennep. ad Coluth. 1, 1. p. 2. 3. Reiz. Vid. Wolf. Analect. II. p. 448. Ed. Lips.] Mox Bar. Ald. *τόσσον. φέρτερος* Junt.
51. Bar. *ὑμνοῦσαι* et supr. *ὑμνοῦσι.*
54. Etymologus M. p. 329, 25. *Ἐλευθήρ, ὄνομα πόλεως τῆς Βοιωτίας· Ἡσίοδος κ. τ. λ.*
60. *κοῦρας.* Vide ad *Ἐργ.* 564.
61. *μέλλεται* Ald. Junt. *μέμηλέ τ'* Trinc.

ἔνθα σφιν λιπαροὶ τε χοροὶ καὶ δαίμονα καλά.
πὰρ δ' αὐτῇς Χάριτές τε καὶ Ἵμερος οἶκί' ἔχουσιν,
ἐν θαλίῃς· ἐρατὴν δὲ δι' στόμα ὄσσαν ἰεῖσαι,
μέλπονται κέκνων τε νόμους, καὶ ἤθεα κεδνὰ
ἀθανάτων κλείουσιν, ἐπήρατον ὄσσαν ἰεῖσαι.
αἳ τότ' ἴσαν πρὸς Ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ,
ἀμβροσίῃ μολπῇ· περὶ δ' ἴαχε γαῖα μέλαινα
ὑμνεύσαις, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει,
στεισομένων πατέρ' εἰς ὅν· ὁ δ' οὐρανῷ ἐμβασιλεύει,
αὐτὸς ἔχων βροντὴν, ἠδ' αἰθαλόεντα κεραυνὸν,
κάρτεϊ νικήσας πατέρα Κρόνον. εὖ δὲ ἕκαστα
ἀθανάτοις διέταξεν ὁμῶς, καὶ ἐπέφραδε τιμάς.

Ταῦτ' ἄρα Μοῦσαι ἄειδον, Ὀλύμπια δώματ' ἔχουσαι,
ἐννέα θυγατέρες μεγάλου Διὸς ἐκγεγαυῖαι,
Κλειώ τ', Εὐτέρπη τε, Θάλειά τε, Μελπομένη τε,
Τερψιχόρη τ', Ἐρατώ τε, Πολύμνιά τ', Οὐρανίη τε,
Καλλιόπη θ'· ἡ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.
ἡ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
ὅντινα τιμήσουσι Διὸς κοῦραι μεγάλοιο,
γεινόμενόν τ' ἐσίδωσι διοτρεφέων βασιλήων,
τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἐέρσην,
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ

64. Schol. Pindar. Ol. IX. 59. Χάριτές τε καὶ. τε abest Ald. Trinc. et al. Plutarch. II. p. 49. F. Χάριτές τε καὶ Ἵμερος οἶκί' ἔθεντο. [Sch. 2. Pind. Ol. 9. 138. b. et 1. 69. a. Reiz.]

73. ἕκαστα Ἀθανάτων διέταξεν ὁμῶς, ἐπέφρασδε δὲ Barocc.

74. Guietus ἀθανάτοις διέταξε νόμοις. Sed vulgatum habet Theophilus ad Autolyc. II. p. 58.

79. Diodorus Siculus IV. 7. ἢ σφέων προφερεστάτη ἐ. ἀ.

79—87. Stobaeus Serm. XLVI. p. 326. ubi Καλλιόπη τ' εἶδη — ἣ μὲν γὰρ — γεινόμενόν τε ἴδωσι — προχέουσιν ἀοιδήν. [Stob. 212. (7) 527. b. γινόμενόν τε ἴδωσι St. προχέουσιν St. Reiz.]

[80—85. Hunc locum Themist. or. XI, p. 254. recitat, ubi legit v. 80. Ἡ γὰρ καὶ β. 81. τιμήσωσι. recte. 82. γινόμενον. 83. χεύουσιν. 84. οἱ δέ τε λ. Reiz.]

81. τιμήσωσι Themistius IX. p. 122.

83. Scholiastes sine dubio legit ἐέρσην. Ἐέρση, inquit, ἡ δρόσος κηρίως· νῦν δὲ μεταφορικῶς τὸ μέλι. Γλυκερὴν δὲ τὸ γλυκὺ καὶ ἁπαλὸν τῶν λόγων. et sic Themistius probante Graevio. Vulg. ἀοιδὴν, haud omnino damnandam censet Wolfius, et eam sane servat Aristides nostra adhibens a v. 80. ad v. 90. T. II. p. 98, 99 = 265. Ἐέρσην habet Barocc. cum ἀοιδὴν pro v. l.

84. οἱ δέ τε λαοὶ Aristides, Themistius, et paullo supr. τοῦ μὲν ἐ. γ. γλ. χεύουσιν.

πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων,
αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε.
τούνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῇφι μετάτροπα ἔργα τελεῦσι
ῥηϊδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν.
ἐρχόμενον δ' ἀνὰ ἄστυ, θεὸν ὡς, ἱλάσκονται
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν·
τοίη Μουσάων ἱερὴ δόσις ἀνθρώποισιν.
ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί·
ἐκ δὲ Διὸς, βασιλῆες· ὁ δ' ὄλβιος, ὅντινα Μοῦσαι
φιλεῦνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
εἰ γάρ τις καὶ πένθος ἔχων νεοκηδέϊ θυμῷ
ἄζηται κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
ὑμνήσῃ, μάκαράς τε θεοὺς οἳ Ὄλυμπον ἔχουσιν,
αἶψ' ὅγε δυσφρονέων ἐπιλήθεται, οὐδέ τι κηδέων
μέμνηται· ταχέως δὲ παρέτραπε δῶρα θεάων.

[86. ἀγορεύει Αἰδοῖ μειλιχίῃ· μετὰ δὲ πρέπει ἀγρομένοισιν, Αἶψά τε — Lennep. ad Coluth. 1, 10. p. 49. sq. Cf. Hom. Od. 8, 172. Reiz.]

86. ἀτρεκέως ἀγορεύων Aristides.

[87. Arrian. in Epict. 2, 12. Reiz.]

88. Schol. Soph. Phil. 136.

88—90. Stobaeus Serm. XLVI. p. 326. ubi οὕνεκεν ἄλλοις. Sed recte cum vulg. LXXVIII. p. 468. ubi sunt vv. 85—92.

91. Schol. variam lectionem memorat Ἐρχόμενον δ' ἀν' ἀγῶνα, quam receptae praetulit Graevius. Wolfius contra vulgatam defendit ex Homeri Od. Θ. 171. θεὸν θ' ὡς Trinc.

93. οἵα τε Μουσάων R. Ald. Junt. οἷά τε μ. B. τοίη Μουσάων Guietus, et Wintertonus [et Lennep. Reiz.], quam lectionem in notis amplectitur Wolfius: οἷά τοι Trinc.

94. Utraque Junt. Bar. Schol. Pind. Pyth. IV. 313. Nem. III. 1. ἐκ γάρ τοι μουσάων. [Debet aut deleri particula τοί, aut scribi Μουσέων. Reiz.] In priore loco Cod. Gotting. Μούσεων. cf. Herman. ad Hom. H. XXV. Schol. Ven. A. ad Il. Α. 176. ἐκ γὰρ Μουσάων. Schol. B. ἐκ γάρ τοι Μουσάων. Eustath. p. 76, 1=57, 17. ὡς ἐκ μὲν Μουσῶν. Themistius Or. VII. p. 79. C. ἤδη οὖν πότε ἤκουσας Ἡσιόδου τοῦ ποιητοῦ, ὅτι ἄλλοι μὲν ἄλλα σαφῶς κτῶνται παρὰ τῶν θεῶν, Ἐκ μὲν Μουσάων καὶ Ἀπόλλωνος ἑκάτοιο, κιθαριστάς τε εἶναι καὶ ποιητὰς, Ἐκ δὲ Διὸς βασιλῆας. Conf. XIII. p. 170. B.

95. χθονὶ Guietus, ut in Hom. Hymn. et Schol. Ven. qui ἔασιν omittit.

96. 97. Stobaeus Serm. XLV. p. 322. ubi φίλωνται, ut Hom. Hymn. ῥέεν Bar.

Χαίρετε τέκνα Διὸς, δότε δ' ἱμερόεσσαν ἀοιδήν.
κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων,
οἳ Γῆς ἐξεγένοντο καὶ Οὐρανοῦ ἀστερόεντος,
Νυκτός τε δνοφερῆς, οὓς δ' ἅλμυρὸς ἔτρεφε Πόντος.
εἰπατε δ' ὡς τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο,
καὶ ποταμοὶ, καὶ πόντος ἀπείριτος οἴδματι θύων,
ἄστρα τε λαμπετόωντα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ, δωτῆρες ἐάων,
ὥς τ' ἄφενος δάσσαντο, καὶ ὡς τιμὰς διέλοντο,
ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
ταῦτά μοι ἔσπετε Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι,
ἐξ ἀρχῆς, καὶ εἰπατ' ὅ τι πρώτιστον γένετ' αὐτῶν.

Ἦτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου
Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης,

104—153. Citat Theophilus ad Autol. p. 58.

108. Hunc et seqq. ad v. 139. allegat Origenes Philosophumen. e Cod. Medic. editus in Gronovii Thes. T. X. p. 290. ubi mox *οἰδμά τε πόντου*.

112. *ὡς στέφανον λάσαντο* Origenes, cui deest v. 111.

114. In codice Regio hoc Scholion adscriptum erat: *Δύο ἔπη ὁ Σέλευκος ἀθετεῖ· οἱ δὲ περὶ Ἀρίσταρχον τὸ Ἐξ ἀρχῆς μόνον λέγουσιν.* Ego cum Guieto ad h. l. et Heynio in elegantissima Comment. de Theogonia ab Hesiodo condita p. 152. totum prooemium Hesiodo abjudicem. Theogonia incipit a v. 116. Ruhnkenius.

115. *καὶ ἔπειτα ὅτι περ πρῶτον γένετ' αὐτῶν* Origenes.

116. Locus ab iis imprimis celebratus qui de rerum initiis scripserunt. Praecipue consulendi Plato Sympos. p. 178. B. Aristot. Phys. Ausc. IV. 1. Metaphys. I. 4. Plutarch. Is. et Osir. p. 374. B. Sympos. p. 678. F. An aqua p. 955. E. Pausan. IX. 27. Achilles Tatius Isagog. p. 83. ed. Victor. Cornutus de N. D. p. 173. Sextus Empiricus Pyrrhon. Hypot. III. 16. Adv. Mathemat. IX. p. 550. X. p. 635. Stobaeus Ecl. Phys. I. 11. Ridet Aristophanes Av. 694.

117. Plutarch. Orac. Def. p. 433. E.

[V. 118. 119. Intrusi a rhapsodo, ut putat Heynius Comm. Soc. Gott. T. II. 1779. p. 138. Cf. Wolf. ad Plat. Symp. p. 20. Reiz.]

118. Hunc versum ex male accepto *πάντων* forsan ortum, expungendum esse viderunt jam Guietus et Heynius. Idem occurrit infr. 794. Schol. ad v. 117. *Διὰ τοῦτο καὶ Πλάτων αἴτιον τοῦ κόσμου φησὶ τὴν γῆν ἐν τῷ Φαίδωνι· ὅθεν ὁ ἐπαγόμενος ἀθετεῖται στίχος.* Nec videtur versum in libris suis habuisse Chalcidius, cum latinis versibus haec verteret Comm. in Timaeum p. 325. ed. Fabric. *Prima haec est Caligo, dehinc post Terra creata est Spirantum sedes firmissima, pectore vasto.* Wolfius. Abest a Sexto Empirico. Ἀθανάτων|τοι Cornutus.

119. *Τάρταρά τ' ἠνεμόεντα* Origenes. *Τ. τ' εὐρυόδοντα* Cornutus. Vide Schol. Ven. II. *A*: 512.

ἠδ' Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,
λυσιμελὴς, πάντων τε θεῶν πάντων τ' ἀνθρώπων
δάμναται ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν.
Ἐκ Χάεος δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο.
Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
οὓς τέκε κυσσαμένη, Ἐρέβει φιλότητι μιγεῖσα.
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόεντ', ἵνα μιν περὶ πάντα καλύπτοι,
ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί.
γείνατο δ' Οὔρεα μακρὰ, θεῶν χαρίεντας ἐναύλους
Νυμφέων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα.
ἡ δὲ καὶ ἀτρύγετον Πέλαγος τέκεν οἰδματι θύον,
Πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα, τέκ' Ὠκεανὸν βαθυδίνην,
Κοιόν τε, Κρεῖόν θ', Ὑπερίονά τ', Ἰαπετόν τε,
Θείάν τε, Ῥείαν τε, Θέμιν τε, Μνημοσύνην τε,
Φοίβην τε χρυσοστέφανον, Τηθύν τ' ἐρατεινήν.
τοὺς δὲ μέθ' ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτης,
[δεινότατος παίδων· θαλερὸν δ' ἤχθηρε τοκῆα.]

Eustath. Il. *A.* p. 108 = 81, 37. μυχῶν Bar. Trinc.

120. Aristoteles, memoriae fortasse vitio, ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισιν. Idem supra 116. πάντων μὲν πρώτιστα, quod nescio an Latine reddere voluerit Festus p. 185. *Inchoare videtur ex Graeco originem trahere, quod Hesiodus* omnium rerum *initium esse dixerit chaos.*

122. ἐπίφρονα βουλὴν Cornutus.

123. Schol. Euripid. Orest. 174. Arati Phaen. 411.

124. Ammonius v. Ἡμέρα. Etymologus p. 429, 25.

125. Deest Origeni. [Noctem Hesiodus ex Chao natam, et Erebi sororem et coniugem dicit: at M. Varro ap. Sex. Pompeium Erebo creatam. Victor. V. L. 3, 4. — Didymus ad Iliad. 8, 368. ἐξ ἐρέβους) ἐκ τοῦ ἐρέβους. ὅ ἐστι σκότους. ἔστι δὲ ὁ πρὸ τοῦ ταρτάρου τόπος. Reiz. Ad Aristophanis ex Avibus v. 695. Ἐρέβους δ' ἐν ἀ-

πείροσι κόλποις a Clerico allatum haec adscripsit Reizius: Etiam Euripides in Oreste Noctem Erebi loca incolere significat his verbis, Ἐρεβόθεν ἴδι.]

126. Schol. Pindar. Nem. VI. 1. πρώτιστον ἐγείνατο — καλύπτῃ. Vulgata habent Stobaeus Ecl. P. I. 11. Schol. Sophocl. Electr. 86. Arat. Phaen. 22. Etymolog. M. p. 642, 11. πρῶτα Origenes.

127. Origenes δύναμιν περὶ πάντα καλύπτειν et mox 129. ὅσα pro θεῶν. 130. Νυμφαίων αἳ ναίουσι κατ' οὔρεα.

128. ὅς ῥ' εἴη Stobaeus. Versum uncinis inclusit Wolfius.

134. Plutarch. Placit. Phil. p. 880. C. Etymolog. M. p. 523, 48.

137. ἀκρότατος γένετο Origenes.

138. Ridiculum illud θαλερὸν τοκῆα, jam olim castissimas Aristarchi aures offendit, ut Schol. monet; sed is, quod valde miror, maluit θαλερὸν explicare θαλεροποιὸν τῷ βίῳ quam ineptum vel-

γείνατο δ' αὖ Κύκλωπας, ὑπερφιάλους ἦτορ ἔχοντας,
Βρόντην τε, Στερόπην τε, καὶ Ἀργην ὀβριμόθυμον,
οἳ Ζηνὶ βροντήν τ' ἔδοσαν, καὶ ξὰν τε κεραυνόν.
οἳ δή τοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν,
μοῦνος δ' ὀφθαλμὸς μέσσῳ ἐνέκειτο μετώπῳ.
[Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα σφέων
κυκλοτερὴς ὀφθαλμὸς ἓις ἐνέκειτο μετώπῳ·]
ἰσχύς τ' ἠδὲ βίη καὶ μήχαναι ἦσαν ἐπ' ἔργοις.
ἄλλοι δ' αὖ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
τρεῖς παῖδες μεγάλοι καὶ ἄβριμοι, οὐκ ὀνομαστοί,
Κοττός τε, Βριάρεώς τε, Γύγης θ', ὑπερήφανα τέκνα.
τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
ἄπλατοι, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον, ἐπὶ στιβαρῇσι μέλεσσιν.
ἰσχὺς δ' ἄπλητος, κρατερὴ, μεγάλῳ ἐπὶ εἴδει.
Ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
δεινότατοι παίδων, σφετέρῳ δ' ἤχθοντο τοκῆϊ
ἐξ ἀρχῆς. καὶ τῶν μὲν ὅπως τις πρῶτα γένοιτο,
πάντας ἀποκρύπτασκε, καὶ ἐς φάος οὐκ ἀνίεσκε,

sum expungere. Ego nihil arbitror esse certius, quam illum pro scioli captu mutatum, et huc retractum ex v. 155. Nostram rationem probat Heynius. Ruhnkenius.

140. ἀστερόπην Bar. Trinc.

141. Schol. Apollon. Rhod. I. 730.

142. οἳ δ' ἦτοι Hermannus ad Hom. H. Cer. p. 105.

Ibid. Crates delevit hunc versum, et pro illo supposuit istum: οἱ δ' ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες. Caussa haec est. Quia Cyclopes fuerint mortales, non dii, nec diis similes. Inde postea ab Apolline interempti, teste Leucippo in Catalogo. Sed haec vis est. Quasi non plures commemorentur in hoc libro, qui ex diis sati mortales tamen nati fuerint. Cyclopes autem diis similes erant robore et staturae magnitudine, non immortalitate. Graevius.

143. ἐνέκειτο Junt. 1. 2. αἰέκειτο Trinc.

145. Citat Eustath. Il. Β, p. 286 = 216, 48.

148. ὄμβριμος Junt. 149. ib. γνήσ. 150. ib. ἐπ' ὤμων.

[149. Mureti V. L. 6, 15. — τοὺς ἑκατοντάχειρας γράφει ἡσίοδος οὐρανοῦ καὶ γῆς γένος. Didym. A. 402. — Κόττος — Γύγης) Apollod. I, 1. Κοῖος — Γύγης. De Gya cf. Bentl. ad Hor. C. 2, 17, 14. — Κοῖος v. 134. Reiz.]

151. ἄπλατοι. Sic Trinc. ἄπλαστοι Ald. Bar.

152. Obelo h. v. confodit Guietus ob Ἔργ. 149. Scut. H. 76, Heynio omnino retinendus videtur.

153. ἄπλητος Bar. MS. Paris. apud Ruhnken. H. Cer. 83. et Junt. 1. 2. ἄπλατος Ald. Trinc.

156. δ' delet Guietus. Contra statuit Wolfius, construendum δειν. παίδων ἦσαν, καὶ ἤχθοντο σ. τ. unde patet particulam δὲ abesse non posse.

157. ἀνίησκε edd. vett.

Γαίης ἐν κευθμῶσι· κακῷ δ' ἐπετέρπετο ἔργῳ
Οὐρανός· ἡ δ' ἐντὸς στοναχίζετο Γαῖα πελώρη,
στεινομένη· δολίην δὲ κακὴν ἐπεφράσσατο τέχνην.
αἶψα δὲ ποιήσασα γένος πολιοῦ ἀδάμαντος,
τεῦξε μέγα δρέπανον, καὶ ἐπέφραδε παισὶ φίλοισιν.
εἶπε δὲ θαρσύνουσα, φίλον τετιημένη ἦτορ.

Παῖδες ἐμοὶ καὶ πατρὸς ἀτασθάλου, αἴ κ' ἐθέλητε
πείθεσθαι, πατέρος γε κακὴν τισαίμεθα λώβην
ὑμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.

Ὣς φάτο. τοὺς δ' ἅρα πάντας ἕλεν θέος, οὐδέ τις αὐτῶν
φθέγξατο· θαρσήσας δὲ μέγας Κρόνος ἀγκυλομήτης
αὖψ αὐτις μύθοισι προσηύδα μητέρα κεδνήν.

Μῆτερ, ἐγώ κεν τοῦτό γ' ὑποσχόμενος τελέσαιμι
ἔργον, ἐπεὶ πατρός γε δυσωνύμου οὐκ ἀλεγίζω
ἡμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.

Ὣς φάτο· γήθησεν δὲ μέγα φρεσὶ Γαῖα πελώρη.
εἶσε δέ μιν κρύψασα λόχῳ· ἐνέθηκε δὲ χειρὶ
ἅρπην καρχαρόδοντα· δόλον δ' ὑπεθήκατο πάντα.
ἦλθε δὲ Νύκτ' ἐπάγων μέγας Οὐρανὸς· ἀμφὶ δὲ Γαίῃ
ἱμείρων φιλότητος ἐκίδνατο, καὶ ῥ' ἐτανύσθη
πάντη· ὁ δ' ἐκ λοχεαῖο πάϊς ὠρέξατο χειρὶ
σκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλλαβεν ἅρπην,
μακρὴν, καρχαρόδοντα, φίλου δ' ἀπὸ μήδεα πατρὸς
ἐσσυμένως ἄμησε, πάλιν δ' ἐρρίψε φέρεσθαι
ἐξοπίσω. τὰ μὲν οὔτι ἐτώσια ἔκφυγε χειρός·
ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι,
πάσας δέξατο Γαῖα· περιπλομένων δ' ἐνιαυτῶν,
γείνατ' Ἐριννῦς τε κρατερὰς, μεγάλους τε Γίγαντας,

[158. Corrupte affertur in grammat. cod. Havn. ap. Bloch. ad Etymol. M. p. 917. Ed. Lips.]
159. στεναχίζετο Junt.
160. στεινομένη. Seleucus malebat ἀχνυμένη, merito improbante Graevio. Mox ἀπεφράσσατο Baroce.
162. μὲν ἐπέφραδε Trinc.
165. πατρός γε Ald. πατρὸς δὲ Junt. infr. 171. πατέρος τε Junt. Bar.
169. αἶψ' αὐτις Bar.
176. Conf. Eustathius ad Dionysium Epist. p. 109. ed. Oxon.
178. λοχοῖο Bar. R. S.. λοχίοιο Junt. λοχείο Trinc. ἐδέξατο Junt.
179. Hunc locum imitatus est Antimachus apud Plutarchum II. p. 275. A. Citat Etymol. M. p. 148, 25.
184. ἐδέξατο Bar.
185. Versum respicit Pausan. in Attic. p. 68. Wolfius.

τεύχεσι λαμπομένους, δόλιχ' ἔγχεα χερσὶν ἔχοντας.
Νύμφας θ', ἃς Μελίας καλέουσ' ἐπ' ἀπείρονα γαῖαν,
μήδεά θ', ὡς τὸ πρῶτον ἀποτμήξας ἀδάμαντι
κάββαλ' ἀπ' ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ,
ὥς φέρετ' ἀμπέλαγος πουλὺν χρόνον· ἀμφὶ δὲ λευκὸς
ἀφρὸς ἀπ' ἀθανάτου χροὸς ὥρνυτο· τῷ δ' ἐνὶ κούρη
ἐθρέφθη· πρῶτον δὲ Κυθήροισι ζαθέοισιν
ἔπλητ'· ἔνθεν ἔπειτα περιῤῥύτην ἵκετο Κύπρον·
ἐκ δ' ἔβη αἰδοίη καλὴ θεός· ἀμφὶ δὲ ποίη
ποσσὶν ὑπὸ ῥαδινοῖσιν ἄέξετο· τὴν δ' Ἀφροδίτην,
[ἀφρογένειάν τε θεὰν καὶ ἐϋστέφανον Κυθέρειαν]
κικλήσκουσι θεοί τε καὶ ἀνέρες, οὕνεκ' ἐν ἀφρῷ
θρέφθη· ἀτὰρ Κυθέρειαν, ὅτι προσέκυρσε Κυθήροις·
[κυπρογένειαν δ', ὅτι γένοιτο πολυκλύστῳ ἐνὶ Κύπρῳ·

186. Deest versus in Barocc.

187. Eustathius Il. T. p. 1210, 38. *Δῆλον δ' ὅτι καὶ νυμφῶν ὄνομα αἱ μέλιαι, ὡς καὶ παρ' Ἡσιόδῳ· αὐτὸ δὲ καθ' ὁμωνυμίαν τῶν δένδρων, οἷς μυθικῶς ἔχαιρον ἐκεῖναι.*

188. *μήδεα δ'* Barocc. Junt. et Heyne. *ἀποτμήσασ'* conj. Guietus. *ἀδάμαντι* dedit Graevius ex Commelini sententia. Edd. primariae *ἀδάμαντον*. *ἀδάμαντι* praebet Junt.

189. *ἀπ' ἠπείροιο* Bar. Junt. ut e conjectura Guietus. in aliis *ἐπ' ἠ*. Apollodorus I. 1, 4. *Ἀγανακτοῦσα δὲ Γῆ ἐπὶ τῇ ἀπωλείᾳ τῶν εἰς Τάρταρον ῥιφθέντων παίδων, πείθει νοῦς Τιτᾶνας ἐπιβήσεσθαι τῷ πατρὶ, καὶ δίδωσιν ἀδαμαντίνην ἅρπην Κρόνῳ· οἱ δὲ, Ὠκεανοῦ χωρὶς, ἐπιτίθενται· καὶ Κρόνος ἀποτέμνων τὰ αἰδοῖα τοῦ πατρὸς εἰς τὴν θάλασσαν ἀφίησιν.*

196. *ἔπλητ'*. Quod Guietus de conjectura reposuit, *ἔπλητ'*, in cod. Paris. legitur. Est ab antiquo *πλῆμι*, *appropinquo*, pro *πέλημι*, *πελάω*, unde adjectivum *ἄπλητος*, de quo diximus ad Homeric. H. Cer. 83. Hom. Il. Δ. 449. *ἀσπίδες ἀμφαλόεσσαι ἔπλητ' ἀλλήλῃσι.* Il. Ξ. 438. *αὖτις ἐξοπίσω πλῆτο μᾶλλον.* Hesychius, ad priorem locum respiciens, *Ἔπλητο· ἐπλησίαζον, ἥπτοντο*, ubi v. Kusterum. Ruhnkenius. In Trinc. dudum legebatur *ἔπλητ'*. Cett. *ἔπλετο*.

[194. Schol. Homer. Il. 3, 424. Lennep. ad Coluth. 2, 4. p. 95. sq. Ruiz.]

195. Junt. 2. Barocc. *ἔπειτα* probante Heynio.

196. Versum spurium uncinis indlusit Wolfius, qui notat eum non agnosci a Platone h. l. citante in Cratylo p. 406. H. St. [196. 199. Ejicit Lennep. Ruhn. Qui in textu *Ἀφρογενῆ* et *Κυπρογενῆ* correxit, in margine *Ἀφρογενία* et *Κυπρογενία*. Ad *Ἀφρογενία* adscripsit: „nunquam Homerus ita vocat.“]

198. Eustath. ad Dionys. v. 498. Suidas v. *Κυθέρεια· οὐχ ὅτι προσέκυρσε Κυθήροις, ὡς Ἡσιόδός φησιν· ἀλλ' ἡ ἐν αὐτῇ νευθόμενον ἔχρυσα τὸν ἔρωτα, ὃν πᾶσιν ἐφίημι· διὰ γὰρ τοῦ νεύειν ἔχει τὴν δύναμιν.* Etymolog. M. p. 543, 43.

199. 200. Hos versus merito damnare videtur Wolfius, licet posteriorem Grammatici veteres haud semel in partes vocent. Schol. Ven. Il. E. 458. Eustath. Il. Δ. p. 439 = 334. E. p. 558 = 423. Z. p. 650 = 513. Etymolog. M. p. 179, 6. et 546, 20. ubi MS. Dor-

φιλομμηδέα, ὅτι μηδέων ἐξεφαάνθη.]
δ' Ἔρος ὡμάρτησε, καὶ Ἵμερος ἕσπετο καλὸς
ομένῃ τὰ πρῶτα, θεῶν τ' ἐς φῦλον ἰούσῃ.
την δ' ἐξ ἀρχῆς τιμὴν ἔχει, ἠδὲ λέλογχε
ραν ἐνὶ ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
θενίους τ' ὀάρους, μειδήματά τ', ἐξαπάτας τε,
ψιν τε γλυκερὴν, φιλότητά τε, μειλιχίην τε.
[Τοὺς δὲ πατὴρ Τιτῆνας ἐπίκλησιν καλέεσκεν,
δας νεικείων μέγας Οὐρανὸς, οὓς τέκεν αὐτός.
κε δὲ, τιταίνοντας ἀτασθαλίῃ μέγα ῥέξαι
ν, τοῖο δ' ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι.]
Νὺξ δ' ἔτεκε στυγερόν τε Μόρον, καὶ Κῆρα μέλαιναν,
Θάνατον· τέκε δ' Ὕπνον, ἔτικτε δὲ φῦλον Ὀνείρων·
τινι κοιμηθεῖσα θεὰ τέκε Νὺξ ἐρεβεννή.
ερον αὖ Μῶμον, καὶ Ὀϊζὺν ἀλγινόεσσαν,
ερίδας θ', αἷς μῆλα πέρην κλυτοῦ Ὠκεανοῖο
σεα καλὰ μέλουσι, φέροντά τε δένδρεα καρπόν·
Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους,
θώ τε, Λάχεσίν τε, καὶ Ἄτροπόν· αἵτε βροτοῖσι
ομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε,

τ ἐ
sic habet: διὸ γεννᾶται ἐν π
ι ἐνὶ πόντῳ. Commode ob-
t V. D. quod Ἀφροδίτη φι-
δὴς nusquam legitur, nisi
Grammaticos; qui hujus
mentionem fecerunt, pro
semper Homerus et alii dein-
poetae habent φιλομμειδής,
e aliter infra 989. ubi adeo
ulli alterum reponere vole-
— Quin et alterum cogno-
a Cypro ductum forte ne me-
re quidem potuit Hesiodus,
paullo ante, deam in mari
n, et tum primum Cythe-
inde etiam Cyprum adpu-
dixerat. Similia fere Lenne-
ad Coluthum p. 94. Dedi
Trinc. γέντο Bar. [γέντο etiam
.] ἐνὶ πόντῳ Bar. Ald. καὶ
μηδεία Bar. [Κυπρογενῆ δτ'
o — Dorvillius Crit. Vanno
o, male. Reiz.]

202. γειναμένη Bar. et mox ἔ-
σχεν. γινομένη Ald. Junt. Trinc.

207—210. Obelo notat Wolfius. Ad hanc Etymologiam plus semel alludit Eustathius. Grammaticus in Etym. M. p. 760, 40. Τιτὰν παρὰ τὸ τιταίνω, οἱονεὶ οἱ τείναντες τὰς] χεῖρας εἰς τὸ κόψαι τὰ αἰδοῖα τοῦ πατρὸς Κρόνου.

212. 215. Spurios censet Heynius. ᾧ τινι Ald. Trinc.

217. 218. 219. Hi versus si scripti sunt ab Hesiodo, ut sunt profecto, necesse est ab interpolatore esse vv. 904. 905. 906. ubi Parcae Jovis et Themidis filiae dicuntur, quae hoc loco Noctis. Antiquitas interpolationis intelligitur ex Apollodoro, qui eam secutus est I. 3. p. 7. Ἐκ μὲν Θέμιδος τῆς Οὐρανοῦ Ζεὺς γεννᾷ Μοίρας, Κλωθὼ, Λάχεσιν, Ἄτροπον. ubi Th. Galeus ad nostram sententiam accommodate scribit: Diu est, cum

αἰῶνα ἀνδρῶν τε θεῶν τε παραβασίης ἐφέπουσαι
οὐδέποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο,
πρίν γ' ἀπὸ τῷ δώωσι κακὴν ὀπιν, ὅς τις ἁμάρτῃ.
τίκτε δὲ καὶ Νέμεσιν, πῆμα θνητοῖσι βροτοῖσι,
[Νὺξ ὀλοή· μετὰ τὴν δ' Ἀπάτην τέκε καὶ Φιλότητα,]
Γῆράς τ' οὐλόμενον, καὶ Ἔριν τέκε καρτεροθύμον.
Αὐτὰρ Ἔρις στυγερὴ τέκε μὲν Πόνον, ἀλγινόεντα,
Λήθην τε, Λιμόν τε, καὶ Ἄλγεα δακρυόεντα,
Ὑσμίνας τε, Φόνους τε, Μάχας τ', Ἀνδροκτασίας τε,
Νείκεά τε, ψευδέας τε Λόγους, Ἀμφιλογίας τε,

suspicatus sum, illud opus (Theogoniam) non esse unius hominis. Ex his versibus primum affert Stobaeus Ecl. Phys. p. 9. ubi νηλεοποίνους editur. Monstri similis lectio est κλεοπόνους, quam Graeculus Grammaticus, Jo. Diaconus, non solum mendosam, sed etiam, quod stultius est, explicare conatur. Jam etsi nihil est in vulgata lectione, quod quemquam offendere possit, suspicor tamen ab Hesiodo scriptum esse, νηλιτοποίνους. v. Orphei Arg. 1362. Ruhnkenius. Hos versus habet Stobaeus Phys. I. 9. p. 11. ubi νηλεοποίνους. νηλεοποίνας Bar. Junt.

218. Schol. Pindar. Ol. VII. 118.

220. Quod *Μοίρας* hic munus datum, scelerum poenas exigere, a solito charactere harum dearum recedit, ut dicendum sit, vel non adoptasse hoc recentiores, vel textum vitio laborare. Wolfius. Versus 220—222. a Rhapsodo insertos esse nullus dubito; dubito nunc an 217—219. et ipsi ab Hesiodo profecti sint. Nam praecesserat *Μόρας* et *Κῆρ*, nunc subjiciuntur *Μοῖραι* et *Κῆρες*, serioris ingenii foetus, et *Μοῖραι* memorantur infra 904. ex Jove natae: ut adeo nunc illos versus relinqui malim, quam eos, qui hic inserti sunt. Heynius.

222. Stobaeus Ecl. Phys. I. p. 9. *πρίν ἀποδώωσι*.

223. *Νέμεσιν*. Diaconus legisse videtur *Μέμψιν*: interpretationi hoc puto deberi, qua Nemesin explicarunt Grammatici, ut Eustath. ad Il. p. 917. Nemesin tuetur quoque Hyginus. Wolfius.

224. Guietus, alienum *Φιλότητα* tentanti, monstrum vocis *Δόλότητα* excidit, quod, omnes et concurrant aruspices, vix expient. At demiror, eum, qui tot bonos et germanos versus proscripserit, hunc ineptissimum et manifeste insititium ferre potuisse. Quis enim credat, Hesiodum tam parum sibi constitisse, ut cum supra v. 201. 209. Veneri attributa dixerit *Παφθενίοιό τ' ὀάρους, μειδήματά τ', ἐξαπάτας τε, Τέρψιν τε γλυκερὴν, φιλότητά τε, μειλιχίην τε*, hic blandas amantium fraudes inter res maxime detestabiles referret. Interpretes misere se torquent in his ad concordiam revocandis. Nos eruditissimum Heynium nobiscum sentire gaudemus. Ruhnkenius.

227. Ruhnkenius emendat *Ἄτην τε, Λιμόν τε* ut *Ἔργ.* 228. Heynius *Λοιμόν τε, Λιμόν τε*.

Ib. *λιμόν*. Graevius e Schol. et sic Ald. Trinc. Bar. Conf. Hemsterhus. ad Aristoph. Plut. p. 207.

228. *φόβους* Trinc. Conf. Homer. Odyss. *Λ*. 611. [Eundem locum et Gell. 15, 25. adscripsit Reiz.]

229. *Ἀμφιλογίας τε*. Ulcus hic subesse indicat vacillans metrum. Guietus male reponit *ἀμφιλλογίας*, vocabulum hactenus inauditum.

ινομίην, Ἄνην τε, συνήθεας ἀλλήλοισιν,
κον δ', ὃς δὴ πλεῖστον ἐπιδδονίους ἀνθρώπους
αίνει, ὅτε κέν τις ἐκὼν ἐπίορκον ὀμόσσῃ.
Νηρέα δ' ἀψευδέα καὶ ἀληθέα γείνατο Πόντος,
βύτατον παίδων· αὐτὰρ καλέουσι γέροντα,
ὕνεκα νημερτής τε καὶ ἤπιος, οὐδὲ θεμιστέων
ται, ἀλλὰ δίκαια καὶ ἤπια δήνεα οἶδεν
ς δ' αὖ Θαύμαντα μέγαν, καὶ ἀγήνορα Φόρκυν,
ῃ μισγόμενος, καὶ Κητὼ καλλιπάρῃον,
φβίην τ' ἀδάμαντος ἐνὶ φρεσὶ θυμὸν ἔχουσαν.
Νηρῆος δ' ἐγένοντο μεγήρατα τέκνα θεάων,
τῳ ἐν ἀτρυγέτῳ, καὶ Δωρίδος ἠϋκόμοιο,
ρης, Ὠκεανοῖο τελήεντος ποταμοῖο·
ωτώ τ', Εὐκράντη τε, Σαὼ τ', Ἀμφιτρίτη τε,
ίρη τε, Θέτις τε, Γαλήνη τε, Γλαύκη τε,
ιοθόη, Σπιώ τε, Θόη θ', Ἁλίη τ' ἐρόεσσα,

MSS. habent φενδεά τε, λό-τ' ἀμηλογίας τε.
o. Δυσνομίην, Ἀπάτην τε
pkenius. ἀλλήλῃσιν 2 MSS.
1. Schol. Pindari Nem. XI. 30. seq. Stobaeus Serm. XXVIII. 36.
3. Νηρέα δ' edidi cum Trinc. Volfio. Alii τ'.
o. Edd. Ald. Junt. μεγήρια, l vocabulum agnoscit Hesy-s. Eodem redit lectio Trin-lii μεγήρηα. Edd. posteriores Bar. μεγήρατα ut Etymolog. 74, 54. quem citant Guietus Volfius. Nec dissimulandum tamen, quod observavit Al- ad Hesychium, formam με-τα ab Etymologo haud obscure tel. Sed, Ruhnkenio judice, ae ratio μεγήρατα postulat.
1. Aelianus H. A. XIV, 28. v. ne Hom. T. VII. pp. 433. 798. 42. Herodotus 4, 25. negat se e Oceanum fluvium: id no- videri sibi fictum ab Homero alio ante eum poeta. Etiam anias I, 53. negat Oceanum ium esse, sed mare terras am-biens. Apollon. IV. Αἰγαίου ἐδά-μασσεν ἐρασσάμενος ποταμοῖο Νηϊάδα Μελίτην. (93. a. extr.) Hygin. Pontum Euxinum dicit Axenum fluvium. Hunc Apollonii locum Nic. Heins. in Epp. Sylloge Burm. p. 402. de mari Aegaeo accipit. Sed est Aegaeus fluvius circa Cor-cyram, ut scholiast. (240. b. 71.) notat ad IV. (104. a. 16.) Αἱ μέν τ' Αἰγαίου ποταμοῦ καλέοντο θύγα-τρες. Hom. Od. 11, 638. τὴν δὲ κατ' Ὠκεανὸν ποταμὸν — 12, 1. ποταμοῖο λίπεν ῥόον Ὠκεανοῖο. Et 24, 11. πὰρ δ' ἴσαν Ὠκεανοῦ τε ῥοάς. — Aegyptii Nilum sua lingua Oceanum dicunt. Diod. Sic. I. 1. extr. Aliter explicat hoc Str. p. 10. Reiz.
243. Εὐκράντη e Trincavell. Al-dus aliique Εὐκράτη. vv. 246. et 247. transponuntur in Barocc. R. S. Junt.
245. Edd. Vett. Σπειώ τε Θοή, Ἁλίη τ' ἐρόεσσα. Quod editur, est e praecepto Valckenaerii ad Ammon. p. 165. citantis Homer. Il. Σ. 40.
246. Alio respicere videtur Har-

καὶ Μελίτη χαρίεσσα, καὶ Εὐλιμένη, καὶ Ἀγαυὴ,
Πασιθέη τ', Ἐρατώ τε, καὶ Εὐνείκη ροδόσαχυς,
Δωτώ τε, Πρωτώ τε, Φέρουσά τε, Δυναμένη τε,
Νησαίη τε, καὶ Ἀκταίη, καὶ Πρωτομέδεια,
Δωρὶς, καὶ Πανόπη, καὶ εὐειδὴς Γαλάτεια,
Ἱππωθόη τ' ἐρόεσσα, καὶ Ἱππονόη ροδόσαχυς,
Κυμοδόκη θ', ἣ κύματ' ἐν ἠεροειδέϊ πόντῳ
πνοιάς τε ξαθέων ἀνέμων, σὺν Κυματολήγῃ,
ῥεῖα πρηΰνει, καὶ ἐϋσφύρῳ Ἀμφιτρίτῃ·
Κυμώ τ', Ἠιόνη τε, ἐϋστέφανός θ' Ἁλιμήδη,
Γλαυκονόμη τε φιλομμειδὴς, καὶ Ποντοπόρεια,
Λειαγόρη τε, καὶ Εὐαγόρη, καὶ Λαομέδεια,
Πουλυνόμη τε, καὶ Αὐτονόη, καὶ Ἀυσιάνασσα,
Εὐάρνη τε φυὴν τ' ἐρατὴ, καὶ εἶδος ἄμωμος,
καὶ Ψαμάθη χαρίεσσα δέμας, δίη τε Μενίππη,
Νηδώ τ', Εὐπόμπη τε, Θεμιστώ τε, Προνόη τε,
Νημερτής θ', ἣ πατρὸς ἔχει νόον ἀθανάτοιο.
αὗται μὲν Νηρῆος ἀμύμονος ἐξεγένοντο
κοῦραι πεντήκοντα, ἀμύμονα ἔργ' εἰδυῖαι.
Θαύμας δ' Ὠκεανοῖο βαθυῤῥείταο θύγατρα
ἠγάγετ' Ἠλέκτρην· ἡ δ' ὠκείαν τέκεν Ἶριν,
ἠϋκόμους θ' Ἅρπυιας, Ἀελλώ τ', Ὠκυπέτην τε,

pocratio. v. *Μελίτη — κεκλῆσθαι δέ φησι τὸν δῆμον Φιλόχορος ἐν τρίτῃ ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον, Μύρμηκος, κατὰ δὲ Μουσαῖον, Δίου τοῦ Ἀπόλλωνος.*

248. Graevius pro *Πρωτὼ* legendum suspicatur *Κραντὼ*, quam quidem emendationem ad v. 243. minus cogitanter retulit Wolfius. [Lege *Πλωτὼ*, ut in suis exemplaribus reperit Aegius. Gale ad Apollod. p. 6. l. 18. Reiz.]

[249. *Πρωνομέδεια* Blomfield. ad Aeschyli S. c. Theb. p. 112. Ed. Lips.]

250. *Πανόπεια* Hermannus Orphic. p. 728.

253. *σὺν Κυματολήγῃ*. Schol. *τῇ τῶν κυμάτων λήξει, τουτέστι καταπαύσει· ἐὰν γὰρ ἄνεμα ἀκούσωμεν, ὥς φησιν Ἀρίσταρχος, ἔσονται μία καὶ πεντήκοντα κατειλεγμέναι. Οἱ δὲ ἀπὸ τοῦ, πατρονόη νημερτής τε, ἣ πατρὸς ἔχει νόον, τὸ τε περισσὸν φασὶ κεῖσθαι· ἵνα κατὰ τοῦ πατρονόη ἀκούσηται ἐπιθετικῶς· ἡ γὰρ προνοουμένη πάντων, ἀληθὴς ἐστι. Καὶ ὁ πατὴρ αὐτῆς Νηρεὺς, ἀληθὴς παρωνόμασται.* Ex postremis colligit Valckenaerius loc. cit. Scholiastam habuisse v. 261. *Πατρονόη τε*, in qua lectione confirmanda omnem laborem supervacaneum fore censet.

254. *πραΰνει σύν τε ἐϋσφύρῳ* Trinc. *πραΰνει* Bar. et mox *καὶ ἐϋστέφανός θ' Ἑλιμήδη*.

256. *Γλ. φιλομειδὴς τ' αὖ κ. Π.* Trinc.

267. Schol. Apollon. Rhod. II. 276. Etymolog. M. p. 148, 29. Apollodorus I. 9. 21. [*Ἁρπυῖας*. Reiz.]

αἵ ῥ' ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ' ἕποντοι,
ὠκείῃς πτερύγεσσι· μεταχρόνιαι γὰρ ἴαλλον.
Φόρκυϊ δ' αὖ Κητὼ Γραίας τέκε καλλιπαρῄους,
ἐκ γενετῆς πολιὰς, τὰς δὴ Γραίας καλέουσιν
ἀθάνατοί τε θεοὶ, χαμαὶ ἐρχόμενοί τ' ἄνθρωποι.
Πεφρηδώ τ' εὔπεπλον, Ἐνυώ τε κροκόπεπλον,
Γοργούς θ', αἳ ναίουσι πέρην κλυτοῦ Ὠκεανοῖο,
ἐσχατιῇ πρὸς νυκτὸς, ἵν' Ἑσπερίδες λιγύφωνοι,
Σθεινώ τ', Εὐρυάλη τε, Μέδουσά τε, λυγρὰ παθοῦσα.
ἡ μὲν ἔην θνητὴ, αἱ δ' ἀθάνατοι καὶ ἀγήρω,

269. Hunc locum imitatur Apollonius Rhodius II. 528. Ἅρπυιαί τ' Ἰρίς τε διέτμαγον· αἱ μὲν ἔδυσσαν Κευθμῶνα Κρήτης Μινωΐδος, ἡ δ' ἀνόρουσεν Οὔλυμπόνδε θοῇσι μεταχρονίῃ πτερύγεσσιν. Voce μεταχρόνιος omnium primus usus videtur Hesiodus. Est quidem in Apollonii Lexico Homerico: Μεταχρόνιον· μετέωρον. Sed cum nulla vocabuli vestigia in Homero reperiantur, credibile est, eam glossam, sicut plures alias, ex Hesiodo in illud Lexicon temere migrasse. Scripturae ratione nihil est incertius. Nam et apud Apollonium, et apud alios, modo μεταχρόνιος, modo μετάχθόνιος, scribitur. II. 589. ὑψοῦ δὲ μεταχρονίῃ πεφόρητο. III. 1150. ψυχὴ γὰρ νεφέεσσι μεταχθονίῃ πεπότητο. IV. 952. καὶ ἐς ἠέρα πέμπει Ὕψι μεταχρονίην. ib. 1296. Πλημμυρὶς ἐκ πόντοιο μεταχθονίην ἐκόμισσε. et 1385. Νῆα μεταχρονίην — φέρειν. Vetus poeta περὶ καταρχῶν v. 420. ἐν νεφέεσσι μεταχρονίην φορέεσκεν. Nonnus XX. p. 548. μεταχρονίῳ δὲ πεδίλῳ Αἰθέρος ἔνδον ἵκανε. et sic etiam XL. p. 1078. Suidas: Μεταχρονίη· ἡ εἰς ὕψος φερομένη. cui glossae subjicit exemplum, ἐκ τῶν Μυθικῶν, ni fallor, petitum: Τίς γὰρ ἐμοὶ σέο μισθὸς ἐπάξιος, ἤν σε διδάξω Ὑψοῦ ὑπὲρ πόντοιο μεταχρονίην ποτέεσθαι; Etymologus quoque M. p. 581, 41. agnoscit μεταχρόνιος. Item Hesychius, Μεταίσιον (l. μετάρσιον) μεταχρόνιον. ubi explicatio, inverso ordine, vocabulum, quod explicatur, praecedit, ut v. Ἀπόναιο, v. Ἐρᾷ etc. Mihi vox non ex μετὰ et χρόνος, ut Scholiastes Hesiodi nugatur, sed ex μετὰ et χθὼν composita videtur: quamvis facile largiar, doctiores etiam Graecos, depravatam vulgi consuetudinem secutos, μεταχρόνιος pro μεταχθόνιος scripsisse. Ruhnkenius.

270. καλλιπάρῃος correctio est Seleuci apud Schol. a Graevio laudata, quam a Wolfio repudiatam, in textum omnino recipiendam censet Heynius.

272. Ineptam Clerici conjecturam ἑρπόμενοι bene refutat Robinsonus citando Homer. Il. E. 441. Οὔποτε φῦλον ὁμοῖον Ἀθανάτων τε θεῶν, χαμαὶ ἐρχομένων τ' ἀνθρώπων. Conf. Luciani Hermot. c. 5. T. I. p. 745.

274. Schol. Ven. ad Il. K. 36. τον περι Γοργους μυθον Ησιοδος επλασεν. Hesychius ex emend. Hemsterhusii, Schol. vetust. Homer. Od. A. 633. verba referens, Γοργείην κεφαλήν· οὐ τὴν Γοργόνα ἐκληπτέον, ἀλλὰ γοργότητά τινα, καὶ φόβητρον· Ἡσίοδος δὲ πλανηθεὶς, ἀνέπλασεν ἐκ τούτων τὰ περὶ τὸν Περσέα, ὅτι ἀπέτεμε τὴν κεφαλὴν Γοργόνος. Τὰ γὰρ περὶ τὴν Δανάην, καὶ τὸν Περσέα, καὶ τὰς Γοργόνας, Ὅμηρος οὐκ οἶδε. Conf. Etymolog. M. v. Γοργός.

277. ἀγήρως Bar. Ald. Junt. Trinc. Inter 279 et 280. Ald. Trinc. Bar. inserunt v. 288.

αἱ δύο· τῇ δὲ μιῇ παρελέξατο Κυανοχαίτης,
ἐν μαλακῷ λειμῶνι, καὶ ἄνθεσιν εἰαρινοῖσι.
τῆς δ' ὅτε δὴ Περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν,
ἔκθορε Χρυσάωρ τε μέγας, καὶ Πήγασος ἵππος.
[τῷ μὲν ἐπώνυμον ἦν, ὅτ' ἄρ' Ὠκεανοῦ περὶ πηγὰς
γείνεθ', ὁ δ' ἄορ χρύσειον ἔχεν μετὰ χερσὶ φίλῃσι.]
χὠ μὲν ἀποπτάμενος, προλιπὼν χθόνα μητέρα μήλων,
ἵκετ' ἐς ἀθανάτους· Ζηνὸς δ' ἐν δώμασι ναίει,
βροντήν τε στεροπήν τε φέρων Διῒ μητιόεντι.
Χρυσάωρ δ' ἔτεκε τρικάρηνον Γηρυονῆα,
μιχθεὶς Καλλιρόῃ κούρῃ κλυτοῦ Ὠκεανοῖο.
τὸν μὲν ἄρ' ἐξενάριξε βίη Ἡρακληείη,
βουσὶ παρ' εἰλιπόδεσσι, περιῤῥύτῳ εἰν Ἐρυθείῃ·
ἤματι τῷ, ὅτε περ βοῦς ἤλασεν εὐρυμετώπους
Τίρυνθ' εἰς ἱερήν, διαβὰς πόρον Ὠκεανοῖο,
Ὄρθρον τε κτείνας, καὶ βουκόλον Εὐρυτίωνα,
σταθμῷ ἐν ἠερόεντι, πέρην κλυτοῦ Ὠκεανοῖο.
Ἡ δ' ἔτεκ' ἄλλο πέλωρον, ἀμήχανον, οὐδὲν ἐοικὸς
θνητοῖς ἀνθρώποις, οὐδ' ἀθανάτοισι θεοῖσι,
σπῆϊ ἐνὶ γλαφυρῷ, θείην κρατερόφρον' Ἔχιδναν,
ἥμισυ μὲν νύμφην ἑλικώπιδα, καλλιπάρῃον,
ἥμισυ δ' αὖτε πέλωρον ὄφιν, δεινόν τε μέγαν τε,
[ποικίλον, ὠμηστὴν, ζαθέης ὑπὸ κεύθεσι γαίης.]

280. κεφαλὴν Περσεὺς Schol. Pindari Ol. XIII. 89.

281. ἔκθορε χρυσάωρ. Guietus, probante Hermanno Orphic. p. 419. Sed ἐξέθορε cum MSS. edd. habet Schol. Pindari.

282. 283. Uncinis inclusit Wolfius. παρὰ πηγὰς Trinc.

282. ὅτ' ἂν Bar. Ald. Junt. Mox ἔχων Junt. Trinc. Bar. 283. γένθ' Trinc. γείναθ' Bar.

286. Schol. Arati Ph. 204.

287. Ald. Junt. Barocc. R. S. cum Schol. Aristoph. Eq. 414. et Suida v. κυνοκέφαλος, τρικέφαλον. Vide Ruhnken. Ep. Crit. II. p. 259. b. (N. B. numeri 257. 258. 259. 260. in ed. sec. per errorem his positi sunt.) [G. Canter. IV. 21. Reiz.]

288. A Junt. abest, sed a Codd. agnoscitur. Dorvillius Charit. p. 13 = 205. Mox βουσὶν ἐπ' ἐ. Junt. ut Homer. Il. Z. 424.

293. Ὄρθρον dedit Robinsonus Barocc. et sic Tzetzes ad Lycophr. 651. in MS. Bar. Ὄρθον est in Schol. Pindar. Isthm. I. 15.

295. ἀμήχανος Trinc.

300 — 305. In his versibus collocandis secutus sum Heynium, qui eos, si non omnino omnes alieni habendi sunt, certe trajectos esse censet. Nam vulgati libri ita ordinant: ποικίλον — ἔνθα — τηλοῦ — ἔνθ' ἄρα — ἡ δ' ἔρυτ' — ἀθάνατος. Haec quisque videt non ita a poeta venire potuisse. Turpiter claudicant ex vulgari ratione in primis postremi versus: ἡ δ' ἔρυτ' εἰν — ἀθάνατος. Deinde

ἡ δ' ἔρυτ' εἰν ἀρίμοισιν ὑπὸ χθόνα λυγρὴ Ἔχεινα,
[ἀθάνατος νύμφη καὶ ἀγήραος ἤματα πάντα.]
ἔνθα δέ οἱ σπέος ἐστὶ κάτω, κοίλῃ ὑπὸ πέτρῃ,
τηλοῦ ἀπ' ἀθανάτων τε θεῶν, θνητῶν τ' ἀνθρώπων·
[ἔνθ' ἄρα οἱ δάσσαντο θεοὶ κλυτὰ δώματα ναίειν.]
Τῇ δὲ Τυφάονα φασὶ μιγήμεναι ἐν φιλότητι,
δεινόν θ' ὑβριστήν τ' ἄνεμον, ἑλικώπιδι κούρῃ·
ἡ δ' ὑποκυσσαμένη, τέκετο κρατερόφρονα τέκνα.
Ὄρθρον μὲν πρῶτον κύνα γείνατο Γηρυονῆϊ·
δεύτερον αὖτις ἔτικτεν ἀμήχανον, οὔτι φατειόν,
Κέρβερον ὠμηστὴν, Ἀΐδεω κύνα χαλκεόφωνον,
πεντηκοντακάρηνον, ἀναιδέα τε κρατερόν τε·
τὸ τρίτον Ὕδρην αὖτις ἐγείνατο, λύγρ' εἰδυῖαν,
Λερναίην, ἣν θρέψε θεὰ λευκώλενος Ἥρη,
ἄπλητον κοτέουσα βίῃ Ἡρακληείῃ.
καὶ τὴν μὲν Διὸς υἱὸς ἐνήρατο νηλέϊ χαλκῷ
Ἀμφιτρυωνιάδης, σὺν ἀρηϊφίλῳ Ἰολάῳ,
Ἡρακλέης, βουλῇσιν Ἀθηναίης ἀγελείης.
ἡ δὲ Χίμαιραν ἔτικτε, πνέουσαν ἀμαιμάκετον πῦρ,
δεινήν τε, μεγάλην τε, ποδώκεά τε, κρατερήν τε.
τῆς δ' ἦν τρεῖς κεφαλαί· μία μὲν, χαροποῖο λέοντος·

clausula ζαθέης ὑπὸ κεύθεσι γαίης v. 300. ex aliis locis huc videtur translata, postquam novi versus ansam dederat glossema ποικίλον, ὠμηστήν. Prorsus enim hic inutile illud emblema est. Tum Echidna νύμφη ἀθάνατος appellari vix potuit, cum ea ab Argo interemta tradatur: quamquam hoc urgere nolim. v. Apollod. II. 1. 2. Denique quo totum locum finivi, versus post illum ἔνθα δέ οἱ non minus inutilis videri debet. Attamen forte haec omnia, ut in in edd. vulgantur, patronos suos invenerint. Equidem in re tam lubrica ne verbum amplius. Hoc mihi persuasum est, talia Hesiodum non cecinisse. Wolfius. ζαθέοις ὑπὸ κεύθμοσι Bar.

302. ἀγήνορος R. S.

307. ἄνομόν θ' MSS. Barocc. et R. S. ἄνομον Junt. Mox νύμφῃ Barocc.

310. οὔτι φατειόν. Vide Ruhnken. Epist. Crit. I. p. 107. φαεινόν Bar.

312. πεντηκοντακέφαλον. Duo MSS. Ald. Junt. Vide supra ad v. 287. Recte Schol. Soph. Trach. 1092. πεντηκοντακάρηνον. Trinc. πεντηκοντοκάρηνον.

315. Vide Ruhnken. ad H. Cer. 85.

319. Etymolog. M. p. 76, 12. Apollodor. II. iii. 1.

321. Eustathius ad Il. P. 387. p. 1110, 50 = 1148, 35. a Wolfio laudatus, de verbo singularis numeri cum substantivo pluralis juncto. Ὅρα — ὡς ἐπήγαγε τοῖς τῶν διαφόρων γενῶν πληθυντικοῖς ὀνόμασι τὸ παλάσσετο ῥῆμα ἑνικόν· καὶ φασὶ Πινδαρικὸν τὸ σχῆμα οἱ παλαιοὶ, οὐχ ὅτι Πίνδαρος εὗρεν αὐτὸ, τῆς γὰρ Ὁμήρου μεταλλείας καὶ τοῦτο ἐκεῖνος ἐκέρδανεν, ἀλλ' ὅτι διαδεξάμενος καὶ ζηλώσας, κατεχρήσατο. Ἔχει δ' ἀφορμὴν ἡ

ἡ δὲ, χιμαίρης· ἡ δ' ὄφις, κρατεροῖο δρακοντος·
[πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.]
τὴν μὲν Πήγασος εἶλε καὶ ἐσθλὸς Βελλεροφόντης.
ἡ δ' ἄρα Φῖκ' ὀλοὴν τέκε, Καδμείοισιν ὄλεθρον,
Ὀρθρῳ ὑποβρήθῖσα· Νεμειαῖόν τε λέοντα,
τὸν ῥ' Ἥρη θρέψασα, Διὸς κυδρὴ παράκοιτις,
γουνοῖσιν κατάνασσε Νεμείης, πῆμ' ἀνθρώποις.
ἔνθ' ἄρ' ὅγ' οἰκείων ἐλεφαίρετο φῦλ' ἀνθρώπων,
κρατέων Τρητοῖο, Νεμείης, ἠδ' Ἀπέσαντος·
ἀλλά έ ἶς ἐδάμασσε βίης Ἡρακληείης.

Κητὼ δ' ὁπλότατον, Φόρκυι φιλότητι μιγεῖσα,
γείνατο, δεινὸν ἄφιν, ὃς ἐρεμνῆς κεύθεσι γαίης,
πείρασιν ἐν μεγάλοις, παγχρύσεα μῆλα φυλάσσει,
τοῦτο μὲν ἐκ Κητοῦς καὶ Φόρκυος γένος ἐστί.

Τηθὺς δ' Ὠκεανῷ ποταμοὺς τέκε δινήεντας,
Νεῖλόν τ', Ἀλφειόν τε, καὶ Ἠριδανὸν βαθυδίνην,
Στρυμόνα, Μαίανδρόν τε, καὶ Ἴστρον καλλιρέεθρον,

σύνταξις τὸ γούνατα οὐδέτερον ὡς πρὸς αὐτὸ μὲν ἀσφάλτως ἐποδοθεῖσα, ἐκεῖθεν δὲ ἀναλόγως ἀπὸ τοιοῦ συμβιβαζομένη καὶ πρὸς τὰ λοιπὰ δύο γένη. Καὶ εἰσὶ μὲν καὶ ἄλλα τοιαῦτα εὐαφόρμως ἐνικὸν ῥῆμα συντάσσοντα πληθυντικοῖς ὀνόμασιν· σὲν ὀλίγα δὲ ὅμως καὶ ἀθεράπευτα, διαλέκτου νόμῳ· τοιοῦτον καὶ παρ' Ἡσιόδῳ τὸ, Τῇσδ' ἦν τρεῖς κεφαλαί. κ. τ. λ. cf. ad Il. Z. p. 634, 37 = 491, 35. Adde Schol. Soph. Trach. 517. τῆς δ' αὖ Barocc.

323. 324. Recte judicat Wolfius post V. D. in Observ. Misc. T. II. p. 317. hos versus ex Homer. Il. Z. 181. irrepsisse.

326. Reposui veterem lectionem ex antiquorum scholiorum auctore, qui legit Φῖκ' ὀλοὴν, et explicat σφίγγα ὀλοήν. Addit porro Boeotos dixisse φῖκα, unde φίκιον locus ubi Sphinx aetatem egerit. Huic Euripidis Scholiastes adstipulatur in Phoeniss. qui tradit φίκιον ὄρος a Sphinge dictum esse, ipsamque a Boeotis vocatam φῖκα. Hinc et Latinis *picati* dicti quorum pedes formam Sphingum habebant. Festus: *Picati appellantur quidam, quorum pedes formati sunt in speciem Sphingum, quod eas Dorii phicas vocant*, Sic φίκιον τέρας dicitur Sphinx apud Lycophronem v. 1463. Φίκιον vero est mons Boeotiae, cujus meminit in Ἀσπίδι v. 55. Stephanus de Urbibus: Φίκειον ὄρος Βοιωτίας καὶ διὰ διφθόγγου καὶ διὰ βραχέως τοῦ ι. Vide et Plutarchum in libello *Quod bruta ratione utantur*. GRAEVIUS. Φῖκ' Trinc. σφίγγ' Ald.

328. τὸν δ' Trinc. De κυδρὴ vide ad Ἔργ. 255.

331. Plerique interpretes vocem τρητοῖο adjectivum faciunt cum *Νεμείης* concordans, eamque exponunt *cavernosae*. Sed perperam. Haec enim vox revera designat montem Tretum, in quo erat spelunca Nemaei leonis, quod Diodorus IV. 11. satis demonstrat. Vide et Pausan. II. p. 144. ROBINSON. Citat h. v. Etymolog. M. 119, 40.

538. Strabo I. p. 52 = 45.

Φᾶσίν τε, Ῥηθώ τ', Ἀχελῳόν τ' ἀργυροδίνην,
Νέσσον τε, Ῥοδίον θ', Ἀλιάκμονά θ', Ἑπτάπορόν τε,
Γρήνικόν τε, καὶ Ἄβησον, θεῖόν τε Σιμοῦντα,
Πηνειόν τε, καὶ Ἕρμον, ἐϋῤῥείην τε Κάϊκον,
Σαγγάριόν τε μέγαν, Λάδωνά τε, Παρθένιόν τε,
Εὔηνόν τε, καὶ Ἄρδησκον, θεῖόν τε Σκάμανδρον.

Τίκτε δὲ θυγατέρων ἱερὸν γένος, αἳ κατὰ γαῖαν
ἄνδρας κουρίζουσι, σὺν Ἀπόλλωνι ἄνακτι,
καὶ ποταμοῖς· ταύτην δὲ Διὸς πάρα μοῖραν ἔχουσι,
Πειθώ τ', Ἀδμήτη τε, Ἰάνθη τ', Ἠλέκτρη τε,
Δωρίς τε, Πρυμνώ τε, καὶ Οὐρανίη θεοειδὴς,
Ἴκκώ τε, Κλυμένη τε, Ῥοδεία τε, Καλλιρόη τε,
Ζευξώ τε, Κλυτίη τε, Ἰδυῖά τε, Πασιθόη τε,
Πληξαύρη τε, Γαλαξαύρη τ', ἐρατή τε Διώνη,
Μηλόβοσίς τε, Θόη τε, καὶ εὐειδὴς Πολυδώρη·
Κερκηΐς τε φυὴν ἐρατὴ, Πλουτώ τε βοῶπις,
Περσηΐς τ', Ἰάνειρά τ', Ἀκάστη τε, Ξάνθη τε,
Πετραίη τ' ἐρόεσσα, Μενεσθώ τ', Εὐρώπη τε,
Μῆτίς τ', Εὐρυνόμη τε, Τελεστώ τε κροκόπεπλος,
Χρυσηΐς τ', Ἀσίη τε, καὶ ἱμερόεσσα Καλυψώ,
Εὐδώρη τε, Τύχη τε, καὶ Ἀμφιρὼ, Ὠκυρόη τε,
καὶ Στὺξ, ἣ δὴ σφεων προφερεστάτη ἐστὶν ἁπασέων.
αὗται δ' Ὠκεανοῦ καὶ Τηθύος ἐξεγένοντο
πρεσβύταται κοῦραι. πολλαί γε μὲν εἰσι καὶ ἄλλαι.
τρὶς γὰρ χίλιαι εἰσὶ τανύσφυροι Ὠκεανίναι,
αἳ ῥα πολυσπερέες γαῖαν καὶ βένθεα λίμνης
πάντη ὁμῶς ἐφέπουσι, θεάων ἀγλαὰ τέκνα.

340. Ἀχελώϊον ἀργυροδίνην vulgatam lectionem, minus recte retinuit et defendit Wolfius. Equidem edidi quod voluisse videtur Guietus.

345. Ἄρδισκον Barocc. Ἄλδισκον Trinc.

347. Eustathius ad Il. Φ. 146. p. 1293 = 1403, 14. citante Wolfio: κουροτρόφοι ἐνομίζοντο οἱ ποταμοὶ διὰ τὴν ὑγρότητα, καθὰ καὶ ὁ ἥλιος Ἀπόλλων διὰ θερμότητα· κουροτρόφους δέ φαμεν τοὺς τὴν νεότητα τρέφοντας. Bar. Ald. Junt. κουρίζουσι σὺν Ἀ. ἄ. Trinc. κουρίζουσιν Ἀ. ξ. ἄ.

351. Ῥοδεία. v. Ruhnken. H. H. Cer. 419.

352. Schol. Apollon. Rhod. III. 242.

356. R. S. περσηΐς τ' ἐρόεσσα.

358. Τελεστώ Barocc. Junt.

359. Κρησηΐς Barocc. Κρυσηΐς Junt. Κρισίη Ald. Κρισίης Trinc. Χρυσηΐς ex Homeri H. Cer. 421. restituendum docet Hermannus.

364. Τρὶς γὰρ μυρίαι — Ὠκεανίδες Schol. Pindari Ol. V. 1. ὠκεανίδες Bar.

τόσσοι δ' αὖθ' ἕτεροι ποταμοὶ καναχηδὰ ῥέοντες,
υἱέες Ὠκεανοῦ, τοὺς γείνατο πότνια Τηθύς·
τῶν ὄνομ' ἀργαλέον πάντων βροτὸν ἄνδρα ἐνίσπειν·
οἱ δὲ ἕκαστοι ἴσασιν οἳ ἂν περιναιετάουσι.
Θεία δ' Ἠέλιόν τε μέγαν, λαμπράν τε Σελήνην,
Ἠώ θ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει,
ἀθανάτοις τε θεοῖς, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
γείναθ', ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.
Κρείῳ δ' Εὐρυβίη τίκτεν φιλότητι μιγεῖσα,
Ἀστραῖόν τε μέλαν, Πάλλαντά τε, δῖα θεάων·
Πέρσην θ', ὃς καὶ πᾶσι μετέπρεπεν ἰδμοσύνῃσιν.
Ἀστραίῳ δ' Ἠὼς ἀνέμους τέκε καρτεροθύμους,
ἀργέστην Ζέφυρον, Βορέην τ' αἰψηροκέλευθον,
καὶ Νότον, ἐν φιλότητι θεῷ θεὰ εὐνηθεῖσα.
τοὺς δὲ μέτ' ἀστέρα τίκτεν Ἑωσφόρον Ἠριγένεια
ἄστρα τε λαμπετόωντα, τά τ' οὐρανὸς ἐστεφάνωται.
Στὺξ δ' ἔτεκ' Ὠκεανοῦ θυγάτηρ, Πάλλαντι μιγεῖσα,
Ζῆλον καὶ Νίκην καλλίσφυρον ἐν μεγάροισι,
καὶ Κράτος, ἠδὲ Βίην, ἀριδείκετα γείνατο τέκνα,
τῶν οὐκ ἔστ' ἀπάνευθε Διὸς δόμος, οὐδέ τις ἕδρη,

367 — 370. Hesiodum manifeste ante oculos habuit Dionysius Periegetes, 644. Ἐκ τοῦ ἀπειρέσιοι ποταμοὶ καναχηδὰ ῥέουσιν, Οἱ μὲν πρὸς Βορέην, οἱ δ' ἐς Νότον, οἱ δ' ἐπὶ ῥιπὴν Εὔρου καὶ Ζεφύροιο. τίς ἂν πάντ' οὐνόματ' εἴποι; Οὐ μὲν ἐπωνυμίαν μίαν ἔλλαχεν, ἀλλ' ἐν ἑκάστῃ Οὔνομ' ἔχει στροφάλιγγι· τὰ δ' ἂν κείνοισι μέλοιτο Ἀνδράσιν, οἳ κατὰ χῶρον ὁμούριον οἶκον ἔθεντο. Wolfius.

369. βροτῶν ἄνδρ' ἓν ἐνισπεῖν. Trinc.

370. ἴσασιν ὅσοι περιναιετάουσι Junt. Steph. marg. ἕκαστα ἴ. οἳ ἂν Eustath. ad Dionys. 638. ὅσοι Trinc.

371. Schol. Eurip. Phoen. 179. Apollon. Rhod. IV. 54. Ammonius v. ἡμέρα. Etymolog. M. p. 449, 15.

374. ὑποδμηθεῖσ'. ita edd. Junt. et MSS. apud Robinsonum, cum Schol. Pindar. Ol. VII. 72. Isthm. V. 1. Pleraeque edd. ὑπευνηθεῖσ'.

[375. Al. Κοίῳ male. Sed alii Κρίον, παροξυτόνως, ut Gale observat ad Apollod. p. 2. l. 10. quod ego melius arbitror: est enim a κριός. Nomen appellativum proprium factum, mutat accentum, non mutat quantitatem. Recte igitur hic scribes metri caussa, Κρείῳ. Et ita scr. supra v. 134. Reiz.]

375. τέκεν ἐν φιλότητι μ. Junt. Trinc. Steph. marg. τέκε ἐν Barocc.

377. ὃς πάσαισι Trinc. Steph. marg. ὅς γε πάσῃσι Barocc.

379. Βορέαν τε λαιψηροκέλευθον Junt. Steph. marg. Βορέην λαιψηροκέλευθον Ald. ἐψηροκέλευθον Trinc. Ad h. l. respicit Suidas v. Θείας.

380. θεὰ θεῷ Junt. Trinc.

381. τίχθ' Ἑωσφόρος Bar. mox πολύσφυρον Junt.

383. Videndus Pausanias VIII, 18.

384. νείκην Junt.

οὐδ' ὁδὸς, ὅππῃ μὴ πάϊσαι θεὸς ἡγεμονεύει·
ἀλλ' αἰεὶ πὰρ Ζηνὶ βαρυκτύπῳ ἑδριόωντες.
ὣς γὰρ ἐβούλευσε Στυὸς ἄφθιτος Ὠκεανίνη,
ἤματι τῷ, ὅτε πάντας Ὀλύμπιος ἀστεροπητὴς
ἀθανάτους ἐκάλεσσε θεοὺς ἐς μακρὸν Ὄλυμπον.
εἶπε δ', ὃς ἂν μετὰ εἷο θεῶν Τιτῆσι μάχοιτο,
μή τιν' ἀποῤῥαίσειν γεράων, τιμὴν δὲ ἕκαστον
ἕξέμεν, ἣν τὸ πάρος γε, μετ' ἀθανάτοισι θεοῖσι.
τὸν δ' ἔφαθ', ὃς τις ἄτιμος ὑπὸ Κρόνου ἠδ' ἀγέραστος,
τιμῆς καὶ γεράων ἐπιβησέμεν, ἥ θέμις ἐστί.
ἦλθε δ' ἄρα πρώτη Στυὸς ἄφθιτος οὔλυμπόνδε
σὺν σφοῖσιν παίδεσσι, φίλου διὰ μήδεα πατρός.
τὴν δὲ Ζεὺς τίμησε, περισσὰ δὲ δῶρα ἔδωκεν.
αὐτὴν μὲν γὰρ ἔθηκε θεῶν μέγαν ἔμμεναι ὅρκον,
παῖδας δ' ἤματα πάντα ἑοὺς μεταναίτας εἶναι.
ὡς δ' αὔτως πάντεσσι διαμπερὲς, ὅσσαπερ ὑπέστη,
ἐξετέλεσσ'· αὐτὸς δὲ μέγα κρατεῖ, ἠδὲ ἀνάσσει.
Φοίβῃ δ' αὖ Κοίου πολυήρατον ἦλθεν ἐς εὐνήν·
κυσσαμένη δ' ἤπειτα θεὰ θεοῦ ἐν φιλότητι
Λητὼ κυανόπεπλον ἐγείνατο μείλιχον αἰεί,
ἤπιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
[μείλιχον ἐξ ἀρχῆς, ἀγαναίτατον ἐντὸς Ὀλύμπου.]
γείνατο δ' Ἀστερίην εὐώνυμόν, ἣν ποτε Πέρσης
ἠγάγετ' ἐς μέγα δῶμα, φίλην κεκλῆσθαι ἄκοιτιν.
ἡ δ' ὑποκυσσαμένη Ἑκάτην τέκε, τὴν περὶ πάντων
Ζεὺς Κρονίδης τίμησε· πόρεν δὲ οἱ ἀγλαὰ δῶρα,
μοῖραν ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.
ἡ δὲ καὶ ἀστερόεντος ὑπ' οὐρανοῦ ἔμμορε τιμῆς,
ἀθανάτοις τε θεοῖσι τετιμένη ἐστὶ μάλιστα.
καὶ γὰρ νῦν ὅτε που τις ἐπιχθονίων ἀνθρώπων
ἔρδων ἱερὰ καλὰ κατὰ νόμου ἱλάσκηται,

387. ἡγεμονεύοι Guietus, probante Wolfio.
393. ἀποραίσειν Ald. Junt. Trinc. Supra θεὸν Trinc.
397. ἄφθιτον Barocc. Trinc.
400. Schol. Venet. Il. Θ. 369.
401. ἑοῦ Barocc. Trinc.
408. Ex margine adhaesisse h. v. judicant Heyne et Guietus, quibus libenter assentior. Friget non parum post superiòra versus cum illa ipsa ἐπαναφορᾷ, qua eum adeo commendare studet Robinson. Wolpius.
409. Περσεὺς ἠγάγεθ' ὡς μ. Bar.
415. Schol. Euripid. Hippol. 146, 228.
417. ῥέζων Trinc.

νικλήσκει Ἑκάτην· πολλὴ τέ οἱ ἕσπετο τιμὴ
ῥεῖα μάλ', ᾧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάς·
καί τε οἱ ὄλβον ὀπάζει· ἐπεὶ δύναμίς γε πάρεστιν.
ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
καὶ τιμὴν ἔλαχον, τούτων ἔχει αἶσαν ἁπάντων,
οὐδέ τι μιν Κρονίδης ἐβιήσατο, οὐδέ τ' ἀπηύρα
ὅσσ' ἔλαχεν Τιτῆσι μετὰ προτέροισι θεοῖσιν,
ἀλλ' ἔχει, ὡς τὸ πρῶτον ἀπ' ἀρχῆς ἔκλετο δασμός.
οὐδ' ὅτι μουνογενὴς, ἧσσον θεὰ ἔμμορε τιμῆς,
[καὶ γέρας ἐν γαίῃ τε καὶ οὐρανῷ, ἠδὲ θαλάσσῃ]
ἀλλ' ἔτι καὶ πολὺ μᾶλλον, ἐπεὶ Ζεὺς τίεται αὐτήν.
ᾧ δ' ἐθέλει μεγάλως παραγίνεται, ἠδ' ὀνίνησιν.
ἔν τ' ἀγορῇ λαοῖσι μεταπρέπει, ὃν κ' ἐθέλῃσιν.
ἠ δ' ὁπότ' ἐς πόλεμον φθισήνορα θωρήσσονται
ἀνέρες, ἔνθα θεὰ παραγίνεται, οἷς κ' ἐθέλῃσι,
νίκην προφρονέως ὀπάσαι, καὶ κῦδος ὀρέξαι.
ἔν τε δίκῃ βασιλεῦσι παρ' αἰδοίοισι καθίζει.
ἐσθλὴ δ' αὖθ', ὁπότ' ἄνδρες ἀγῶνι ἀεθλεύωσιν,
[ἔνθα θεὰ καὶ τοῖς παραγίνεται, ἠδ' ὀνίνησι·]
νικήσας δὲ βίῃ καὶ κάρτεϊ καλὸν ἆεθλον
ῥεῖα φέρει, χαίρων τε τοκεῦσιν κῦδος ὀπάζει.
ἐσθλὴ δ' ἱππήεσσι παρεστάμεν, οἷς κ' ἐθέλῃσι,
καὶ τοῖς οἳ γλαυκὴν δυσπέμφελον ἐργάζονται,
εὔχονται δ' Ἑκάτῃ καὶ ἐρικτύπῳ Ἐννοσιγαίῳ,
ῥηϊδίως δ' ἄγρην κυδνὴ θεὸς ἄπασε πολλὴν,

420. Pleraeque edd. Bar. ὀπάζοι. Alterum recte dedit Wolfius ex ed. Schmidii. τε om. Junt.

425. Vide Ruhnken. ad H. Cer. 86.

426. Οὐδέ τι μουνογενὴς Schol. Apollon. Rhod. III. 1056.

427. Delent Wolfius et Heynius.

430. Reponenda est veterum librorum lectio, quam temere commutavit Commelinus, ut ex notis ejus editioni praefixis videre est: *Hic pro ἔνθ', inquit, reposuimus ἔν τ', et pro ὃν κ', ὧν κ'.* Sed ὃν κ' non erat de sua sede deturbandum. Subauditur enim μεταπρέπειν. Sensus est, *in concione inter homines excellit, quemcumque voluerit excellere Hecate.* Graevius.

431. ὅταν Trinc. θωρήσσοντο Barocc.

436. Versum frigide ex superioribus repetitum esse istud καὶ τοῖς satis arguit. In quo judicium nostrum sequitur Heynius. Ruhnkenius. τοῖς emendavit H. Steph. antea τοῖσι.

438. τοκεῦσί τε Ald. Junt. τ. δὲ Bar. et mox παριστάμεν.

440. γλαυκὴ. Supplendum θάλασσα recte notavit Lambertus Bos. Conf. Schol. Venet. ad Il. II. 54. 748. ex h. l. leviter corrigenda.

δεῖα δ' ἀφείλετο φαινομένην, ἐθέλουσά γε θυμῷ.
ἐσθλὴ δ' ἐν σταθμοῖσι σὺν Ἑρμῇ λῃδ' ἀέξειν·
βουκολίας τ', ἀγέλας τε, καὶ αἰπόλια πλατὺ αἰγῶν,
πολλυνας τ' εἰροπόκων γ' ὀΐων, θυμῷ γε θέλουσα,
ἐξ ὀλίγων βριάει, κάκ πολλῶν μείονα θῆκεν.
οὕτω τοι καὶ μουνογενὴς ἐκ μητρὸς ἐοῦσα,
πᾶσι μετ' ἀθανάτοισι τετίμηται γεράεσσι.
θῆκε δέ μιν Κρονίδης κουροτρόφον, οἳ μετ' ἐκείνην
ὀφθαλμοῖσιν ἴδοντο φάος πολυδερκέος Ἠοῦς.
[οὕτως ἐξ ἀρχῆς κουροτρόφος· αἳ δέ τε τιμαί.]
Ῥεία δ' ὑποδμηθεῖσα Κρόνῳ τέκε φαίδιμα τέκνα,
Ἱστίην, Δήμητρα, καὶ Ἥρην χρυσοπέδιλον,
ἰφθιμόν τ' Ἀΐδην, ὃς ὑπὸ χθονὶ δώματα ναίει
νηλεὲς ἦτορ ἔχων, καὶ ἐρίκτυπον Ἐννοσίγαιον,
Ζῆνά τε μητιόεντα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
τοῦ καὶ ὑπὸ βροντῆς πελεμίζεται εὐρεῖα χθών·
καὶ τοὺς μὲν κατέπινε Κρόνος μέγας, ὥς τις ἕκαστος
νηδύος ἐξ ἱερῆς μητρὸς πρὸς γούναθ' ἵκοιτο·
τὰ φρονέων, ἵνα μή τις ἀγαυῶν Οὐρανιώνων
ἄλλος ἐν ἀθανάτοισιν ἔχῃ βασιληΐδα τιμήν.
πεύθετο γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἀστερόεντος,
οὕνεκά οἱ πέπρωτο ἑῷ ὑπὸ παιδὶ δαμῆναι,
[καὶ κρατερῷ περ ἐόντι, Διὸς μεγάλου διὰ βουλάς·]
τῷ ὄγε οὐκ ἀλαοσκοπιὴν ἔχεν, ἀλλὰ δοκεύων
παῖδας ἑοὺς κατέπινε· Ῥείην δ' ἔχε πένθος ἄλαστον.
ἀλλ' ὅτε δὴ Δί' ἔμελλε θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
τέξεσθαι, τότ' ἔπειτα φίλους λιτάνευε τοκῆας
τοὺς αὐτῆς, Γαῖάν τε καὶ Οὐρανὸν ἀστερόεντα,

446. εἰροπόκων ὀΐων θυμῷ δὲ κ' ἐθέλουσα Bar.

452. Uncinis inclusit Wolfius.

453. Aldus Ῥείη δ' οὐ δμηθεῖσα. Trinc. Ῥείη ὑποδμηθεῖσα.

454. Homerus Il. Δ. 59. Junonem de sese affirmantem induxit Καί μ' ἐτεαβντάτην τέκετο Κρόνος — ubi Schol. Ven. τιμιωτάτην φῦν· πλανηθεὶς δὲ ἐντεῦθεν Ἡσίοδος, νεώτερον φησὶ τὸν Δία. H. v. citat Ammonius v. βωμοί. Etymologus p. 382, 45.

459. Forte ὥς τις ἕκαστος. Quamquam et illud satis bene habet. Wolfius.

462. Edd. vett. ἔχει. Malit forsan aliquis ἔχοι.

465. Spurium judicant Guietus, Heyne, et Wolfius. πατρὸς Trinc.

470. τοὺς αὐτῆς. Quae super. hac scriptura Reizius V. C. per litteras mecum communicavit, eo lubentius adpono, quo magis haec subtilitas ab hominibus Grammaticis nunc negligitur. "Male

μῆτιν συμφράσσασθαι, ὅπως λελάθοιτο τεκοῦσα
παῖδα φίλον, τίσαιτο δ' ἐριννῦς πατρὸς ἑοῖο,
[παίδων οὕς κατέπινε μέγας Κρόνος ἀγκυλομήτης.]
οἱ δὲ θυγατρὶ φίλῃ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο,
καί οἱ πεφραδέτην ὅσα περ πέπρωτο γενέσθαι
ἀμφὶ Κρόνῳ βασιλῆϊ καὶ υἱέϊ καρτεροθύμῳ.
πέμψαν δ' ἐς Λύκτον, Κρήτης ἐς πίονα δῆμον,
ὁππότ' ἄρ' ὁπλότατον παίδων ἤμελλε τελέσθαι,
[Ζῆνα μέγαν· τὸν μὲν οἱ ἐδέξατο Γαῖα πελώρη
Κρήτῃ ἐν εὐρείῃ τραφέμεν ἀτιταλλέμεναί τε.]
ἔνθα μὲν ἶκτο φέρουσα θοὴν διὰ νύκτα μέλαιναν,
πρώτην ἐς Λύκτον· κρύψεν δέ ἑ χερσὶ λαβοῦσα
ἔντρῳ ἐν ἠλιβάτῳ, ζαθέης ὑπὸ κεύθεσι γαίης,

exaratum est hic et v. 754. αὐτῆς cum spiritu denso. Nam semper illi antiqui dixerunt ἕο αὐτῷ, οἱ αὐτῷ, ἑ αὐτὸν, binis vocabulis, numquam uno, ἑαυτοῦ, ἑαυτῷ, ἑαυτὸν, multo minus per ἐνδειαν, αὐτοῦ, αὐτῷ, αὐτόν. Haec est res certissima, veterum Grammaticorum auctoritate. Nonnumquam omittitur, ubi ea ellipsis nihil obscuri habet, pronomen personale vel possessivum, et ponitur solum ἐπιτεγματικὸν αὐτός. Ut Iliad. H. 538. ubi ad αὐτῶν omissum est ἡμῶν. Il. Φ. 538. ἐν δ' αὐτὸν ἔει πυρί. Cogitandum est σε. Romana ed. hic male αὐτόν. Il. I. 342. τὴν αὖτοῦ φιλέει. Omittitur ἕο vel ἑήν. Vulgatae edd. itidem male exhibent αὐτοῦ. Simillimus hic locus istis duobus Theogoniae. In Odyss. B. 125. eodem errore ediderunt αὐτῇ pro αὐτῇ. Od. Δ. 247. αὐτὸν pro αὐτὸν. Illic omissum est οἱ, hic vero ἑ. Immo etiam quarto ante hunc versu 244. scripserunt et ediderunt αὐτόν μιν πλῃγῆσιν — quum additum sit μιν, quod accipitur pro ἑ: unde numquam haec duo, μιν et ἑ, conjunguntur. Solus Barnesius monuit hic legendum esse αὐτόν μιν. Qui si Apollonium Alexandrinum numquam adhibuisset, non modo plura hujusmodi loca emendasset, verum etiam has emendationes ita confirmare potuisset, ut nulla dubitatio relinqueretur. Sed, nescio quomodo, factum est, ut Homeri editorum nemo adhibuerit istum Grammaticum, ex quo uno profici plurimum poterat et ad lectiones multorum locorum vindicandas, et ad intelligendum atque illustrandum Homericum usum loquendi. Locus Apollonii huc pertinens est de Syntaxi II. 19. Πότε αἱ ἁπλαῖ ἀντωνυμίαι εἰς σύνθετον παραλαμβάνονται, καὶ πότε οὔ. Discas inde, jam olim nonnullos fuisse, quos μάτην id facere ait, qui adspirarent in exemplis ante adductis αὐτοῦ φιλέει etc. Rectius igitur in utroque loco Hesiodi scribetur sine adspiratione αὐτῆς." — Confirmandae huic observationi viri doctissimi addi quoque potest locus Athenaei IV. p. 180. extr. Wolfius.

472. Observant Viri docti huc respicere Hesychii glossam, Ἐριννῦς, ἁμαρτίας.

475. Uncinis inclusit Wolfius post Heynium.

479 — 480. Uncinis circumscripsit Wolfius, secutus Heynium. Guietus delet 481 — 483. πρώτον ἐς αὐτὴν Δ. Aldus. Mox ζαθέοις Bar.

[481. θοὴ Schrad. Ruhn.]

αίῳ ἐν ὄρει, πεπυκασμένῳ, ὑλήεντι.
δὲ σπαργανίσασα μέγαν λίθον ἐγγυάλιξεν
ανίδῃ μέγ' ἄνακτι, θεῶν προτέρῳ βασιλῆι.
τόθ' ἑλὼν χείρεσσιν ἑὴν ἐγκάτθετο νηδὺν,
λιος· οὐδ' ἐνόησε μετὰ φρεσὶν ὥς οἱ ὀπίσσω
λίθου ἑὸς υἱὸς ἀνίκητος καὶ ἀκηδὴς
εθ', ὅ μιν τάχ' ἔμελλε βίῃ καὶ χερσὶ δαμάσσας,
ς ἐξελάαν, ὁ δ' ἐν ἀθανάτοισιν ἀνάξειν.
Καρπαλίμως δ' ἄρ' ἔπειτα μένος καὶ φαίδιμα γυῖα
το τοῖο ἄνακτος· ἐπιπλομένου δ' ἐνιαυτοῦ
ης ἐννεσίῃσι πολυφραδέεσσι δολωθεὶς,
όνον ἂψ ἀνέηκε μέγας Κρόνος ἀγκυλομήτης,

4. Αἰγαίῳ Trinc. Edd. plures
ίῳ. Robinsonus e Callim. H.
6. maluit Ἰδαίῳ. Schol. Arati
53. ὄρεος σχέδον Ἰδαίοιο. Τι-
ράφουσι, σχέδον Αἰγαίοιο, παρ'
δον λαβόντες, φάσκοντος, τὸν
ἐν Αἰγαίῳ ὄρει πεπυκνωμένῳ
ρήτῃ τραφῆναι.
7. εἰσκάτθετο hic et infra 899.
tus, probante Wolfio. [ἐσκάτ-
. Cf. v. 890. 899. Reiz.]
9. ἀνήκεστος Bar.
1. ἐξελάειν Barocc. Trinc.
2. sq. Hinc exspectari poterat
poneretur, qua ratione fatum
ante memoratum de Crono
Iovem imperio dejiciendo ex-
habuerit. Nam quae inferius
itur commemoratio Titanum
vo rege debellatorum, etsi in
Cronus quoque numerandus
tamen, cum illa pugna serius
rono jam oppresso commissa
i debeat, ea commemoratio
ie consilio satisfacere non po-
Et maxime tamen necessa-
erat, ut accuratius nunc ipsa
vis in patrem describeretur.
iac in primis parte mutilum
ri carmen, per se non impro-
e est. Sed confirmatur haec
cio auctoritate Platonis de
H. p. 377. E. Πρῶτον μὲν τὸ
τον καὶ περὶ τῶν μεγίστων
ος ὁ εἰπὼν, οὐ καλῶς ἐψεύσατο,
Οὐρανός τε εἰργάσατο ἅ φησι
αι αὐτὸν Ἡσίοδος, ἅ τε αὖ
Κρόνος ὡς ἐτιμωρήσατο αὐτόν· τὰ
δὲ δὴ τοῦ Κρόνου ἔργα καὶ πάθη
ὑπὸ τοῦ υἱέως. In quibus ultima
verba, si recte intelligo, arguunt,
Platonem uberiora legisse in The-
ogonia, quae nunc desiderantur;
nisi si quis cupide magis repug-
nare velit, et ad aliud carmen He-
siodeum a philosopho respici putet.
Illa vero mutilatio deinde forte
effecit, ut plura in hoc loco etiam
turbarentur ac depellerentur de
pristina sede: parum enim apte
inter se cohaerent quae sequuntur,
praesertim a v. 501 — 506. a qui-
bus mox ad Iapetidas et ad fabu-
lam Promethei procedit poeta,
quibus demum bellum Gigantum
adnectit. Haec et alia nondum
reputaveram, cum obelis notarem
vss. 492 — 500. immo nunc puto,
haec, modo integra et suo ordine
exstent, sine offensione legi posse.
Wolfius.

493. ἐπιπλομένων ἐνιαυτῶν Trinc.
et δ' inserto MS. R. S. Bar.

495. Id quod Cronos Metidis
dolo adductus facit apud Apol-
lod. I. 2. 1. Ita vero absonus
prorsus versus 496. νικηθεὶς τέχνη-
σι βίηφι τε παιδὸς ἑοῖο. Quae
enim partes Jovis ea in re fuere,
si Γαίης ἐννεσίῃσι res facta? Lapis
ostendebatur Delphis v. Pausan.
X. 24. Ceterum cur vs. 492 — 500.
uncis inclusi sint non assequor;
abesse enim vix possunt, si narra-

νικηθεὶς τέχνῃσι βίηφί τε παιδὸς ἑῆος.
πρῶτον δ' ἐξήμησε λίθον, πύματον καταπίνων·
τὸν μὲν Ζεὺς στήριξε κατὰ χθονὸς εὐρυοδείης
Πυθοῖ ἐν ἠγαθέῃ, γυάλοις ὑπὸ Παρνησσοῖο,
σῆμ' ἔμεν ἐξοπίσω, θαῦμα θνητοῖσι βροτοῖσι.
Λῦσε δὲ πατροκασιγνήτους ὀλοῶν ἀπὸ δεσμῶν
Οὐρανίδας, οὓς δῆσε πατὴρ ἀεσιφροσύνῃσιν·
οἳ οἱ ἀπεμνήσαντο χάριν εὐεργεσιάων,
δῶκαν δὲ βροντὴν, ἠδ' αἰθαλόεντα κεραυνὸν,
καὶ στεροπήν· τὸ πρὶν δὲ πελώρη Γαῖα πεπύθει·
τοῖς πίσυνος, θνητοῖσι καὶ ἀθανάτοισιν ἀπάσσει.
Κούρην δ' Ἰαπετὸς καλλίσφυρον Ὠκεανίνην
ἠγάγετο Κλυμένην, καὶ ὁμὸν λέχος εἰσανέβαινεν.
ἡ δέ οἱ Ἄτλαντα κρατερόφρονα γείνατο παῖδα·
τίκτε δ' ὑπερκύδαντα Μενοίτιον, ἠδὲ Προμηθέα
ποικιλόν, αἰολόμητιν· ἁμαρτίνοόν τ' Ἐπιμηθέα,
ὃς κακὸν ἐξ ἀρχῆς γένετ' ἀνδράσιν ἀλφηστῆσι·
πρῶτος γάρ ῥα Διὸς πλαστὴν ὑπέδεκτο γυναῖκα
παρθένον. ὑβριστὴν δὲ Μενοίτιον ἐμβρύοπα Ζεὺς
εἰς Ἔρεβος κατέπεμψε, βαλὼν ψολόεντι κεραυνῷ,
εἵνεκ' ἀτασθαλίης τε καὶ ἠνορέης ὑπερόπλου.
Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης,
πείρασιν ἐν γαίης, πρόπαρ Ἑσπερίδων λιγυφώνων
ἑστηὼς, κεφαλῇ τε καὶ ἀκαμάτοισι χέρεσσι.
ταύτην γάρ οἱ μοῖραν ἐδάσσατο μητιέτα Ζεύς.
δῆσε δ' ἀλυκτοπέδῃσι Προμηθέα ποικιλόβουλον,
δεσμοῖς ἀργαλέοισι μέσον διὰ κίον' ἐλάσσας.
καὶ οἱ ἐπ' αἰετὸν ὦρσε τανύπτερον· αὐτὰρ ὅγ' ἦπαρ
ἤσθιεν ἀθάνατον, τὸ δ' ἀέξετο ἶσον ἁπάντῃ

tionis ordinem specto. Redolere interpolationem videri potest v. 505. καὶ στεροπήν. De re cf. v. 156. sq. HEYNIUS.

501. Sequentia nimium quantum abrupta sunt, et sine dubio manca; totaque haec narratio alio loco melius posita esset. WOLFIUS. ὑπὸ Junt.

503. ἐκμνήσαντο Trinc.

505. τὰ πρὶν e conj. Guieti ed. Robinson.

519. Spurium censet Guietus. Occurrit infra 747. ubi ἀκαμάτοιο.

521. Respexit huc forte Apollon. Rhod. II. 1249. vid. ibi Scholiast. quem expilavit Eudocia p. 346. WOLFIUS. Versum citat Etymolog. M. p. 71, 34. Draco Straton. περὶ μέτρων apud Schaefer. Gregor. de Dial. p. 340. σπανίως εὑρήσεις τὸ ᾰ βραχὺ ἕδει δωρικῷ ἐκταμένον φωνήεντος, ὡς παρ' Ἡσιόδῳ ἐν Θεογονίᾳ· δῆσας ἀλυκτοπέδῃσι κ. τ. λ.

ὀυκτὸς, ὅσον πρόπαν ἦμαρ ἔδοι τανυσίπτερος ὄρνις.
τὸν μὲν ἄρ' Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
Ἡρακλέης ἔκτεινε, κακὴν δ' ἀπὸ νοῦσον ἄλαλκεν
Ἰαπετιονίδῃ, καὶ ἐλύσατο δυσφροσυνάων·
οὐκ ἀέκητι Ζηνὸς Ὀλυμπίου ὑψιμέδοντος,
ὅφρ' Ἡρακλῆος Θηβαγενέος κλέος εἴη
πλεῖον ἔτ' ἢ τὸ πάροιθεν ἐπὶ χθόνα πουλυβότειραν.
ταῦτ' ἄρ' ἀζόμενος τίμα ἀριδείκετον υἱόν·
καί περ χωόμενος, παύθη χόλου, ὃν πρὶν ἔχεσκεν,
οὕνεκ' ἐρίζετο βουλὰς ὑπερμενέϊ Κρονίωνι.
καὶ γὰρ ὅτ' ἐκρίνοντο θεοὶ θνητοί τ' ἄνθρωποι
Μηκώνῃ, τότ' ἔπειτα μέγαν βοῦν πρόφρονι θυμῷ
δασσάμενος προὔθηκε, Διὸς νόον ἐξαπαφίσκων.
τῷ μὲν γὰρ σάρκας τε καὶ ἔγκατα πίονι δημῷ
ἐν ῥινῷ κατέθηκε, καλύψας γαστρὶ βοείῃ·
τῷ δ' αὖτ' ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ
εὐθετίσας κατέθηκε, καλύψας ἀργέτι δημῷ.
δὴ τότε μιν προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἰαπετιονίδη, πάντων ἀριδείκετ' ἀνάκτων,
ὦ πέπον, ὡς ἑτεροζήλως διεδάσσαο μοίρας.

525. ἔδει Ald.

530. Θηβαγενέος. Ita libri cum Schol. Sophocl. Trach. 136. Unde Θηβαιγενέος non protulisset Valckenaerius ad Ammon. p. 98. si editionem Romanam vel obiter inspexisset.

532. Iterum haec hiulca sunt, et forte plura interciderunt. Nihil efficias, si cum Guieto ejicias v. 532. nisi ut pauperiores adhuc simus uno versu. Non cogitavit hoc Robinson, qui e cod. suo, binis versibus in unum coalescentibus, edidit, ταῦτ' ἄρ' ἀζόμενος παύσθη χόλον ὃν πρὶν ἐπεῖχεν. Et tautologiam, quae sic dicitur tolli, non video. Magis mihi molestus est hiatus in ἄρα ἀζόμενος, et non inepte hoc corrigit Graevius φραζόμενος. Wolfius. Ruhnkenius confert cum μέγα ἅζομαι H. Cer. 76.

533. χόλον, ὅν περ Trinc. [Hic versus delendus. Reiz.]

[534. Ultimam in βουλὰς producit Homerus Il. 23, 78. Reiz.]

536. Μηκώνη urbs est Peloponnesi antiquissima et nobilissima, posthac Sicyon appellata. Strabo VIII. p. 382. (587.) Steph. Byz. v. Σικύων. Schol. Pindar. Nem. X. 123. Wolfius.

537. Ζηνὸς pro Διὸς Emm. Bar. Ibid. ἐξαπατίσκων Ald. Junt. qui Ζηνὸς habent pro Διός.

538. τοῖς μὲν Barocc. et Em.

538. 540. Assentior Guieto scribendum esse, τῇ μὲν γὰρ et τῇ δ' αὖτ' — *altera parte* carnes et adipem corio victimae conditam, *altera parte* ossa omento obducta apposuit Prometheus. γαστὴρ βοεία est ipsum corium, ῥινός. Heynius.

540. Conf. Luciani Prometh. T. I. p. 187. c. 3. De Merc. Cond. p. 684. c. 26.

544. μοίραν Ald. Junt. 1.

Ὡς φάτο κερτομέων Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
τὸν δ' αὖτε προσέειπε Προμηθεὺς ἀγκυλομήτης,
ἦκ' ἐπιμειδήσας, (δολίης δ' οὐ λήθετο τέχνης)
Ζεῦ κύδιστε, μέγιστε θεῶν αἰειγενετάων,
τῶνδ' ἕλευ, ὁππότερην σε ἐνὶ φρεσὶ θυμὸς ἀνώγει.
Φῆ ῥα δολοφρονέων· Ζεὺς δ' ἄφθιτα μήδεα εἰδὼς
γνῶ ῥ' οὐδ' ἠγνοίησε δόλον· κακὰ δ' ὄσσετο θυμῷ
θνητοῖς ἀνθρώποισι, τὰ καὶ τελέεσθαι ἔμελλεν.
χερσὶ δ' ὄγ' ἀμφοτέρῃσιν ἀνείλετο λευκὸν ἄλειφαρ.
χώσατο δὲ φρένας, ἀμφὶ χόλος δέ μιν ἷκτο θυμόν,
ὡς ἴδεν ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ.
ἐκ τοῦ δ' ἀθανάτοισιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
καίουσ' ὀστέα λευκὰ θυηέντων ἐπὶ βωμῶν.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
ὦ πέπον, οὐκ ἄρα πω δολίης ἐπιλήθεο τέχνης.
Ὡς φάτο χωόμενος Ζεὺς ἄφθιτα μήδεα εἰδώς·
ἐκ τούτου δ' ἤπειτα, δόλου μεμνημένος αἰεὶ,
οὐκ ἐδίδου μελέεσσι πυρὸς μένος ἀκαμάτοιο
θνητοῖς ἀνθρώποις, οἳ ἐπὶ χθονὶ ναιετάουσιν.
ἀλλά μιν ἐξαπάτησεν ἐΰς παῖς Ἰαπετοῖο,
κλέψας ἀκαμάτοιο πυρὸς τηλέσκοπον αὐγὴν
ἐν κοίλῳ νάρθηκι· δάκεν δ' ἄρα νειόθι θυμὸν
Ζῆν' ὑψιβρεμέτην, ἐχόλωσε δέ μιν φίλον ἦτορ,
ὡς ἴδεν ἀνθρώποισι πυρὸς τηλέσκοπον αὐγήν.
αὐτίκα δ' ἀντὶ πυρὸς τεῦξεν κακὸν ἀνθρώποισι.

550. δολοφρονέων — γνῶ ῥ' omittit Emm.

554. θυμῷ Em. Bar. Ald. Junt.

556. sq. Spectat huc Apollonii glossa in Lex. Hom. *Μηρία.* Οὐχ ὡς ἡμεῖς, ἀλλὰ τὰ ἐκ τῶν μηρῶν ἐξαιρούμενα καὶ ἱεροθυτούμενα. Ὁ δὲ Ἡσίοδος τὰ περὶ τὴν μερίδα τῶν ὀστέων μυθικῶς διαπλάσσει. Parum tamen haec nos juvant: et me quoque valde exercuit locus Hesiodi, in quo, quod aliunde non didiceram, ossa aris deorum imposita narrantur. Nisi morem hunc ad antiquissima tantum tempora retrahendum esse dicamus, nihil omnino reliquum video, quam ut *ossa* accipiamus *carnibus undique et adipe obducta.* Quisquis enim versuum horum auctor sit, difficultatem suam retinet sententia. Wolfius. V. Clemens Alex. Strom. VII. p. 848.

557. ὑπὸ β. Emm. βομῷ Ald. Junt. Bar.

560. ἐπιλάθετο Emm.

563. μελίῃσι Barocc. R. S. Emm. Ald. Junt. μελίῃσι Trinc.

567. δέ ἑ εἰόθει θυμὸν Emm.

570. Sequentia ad verbum fere leguntur Opp. 70 — 75. Quod si ibi v. 72. utpote ex 573. interpola-

γαίης γὰρ σύμπλεσσε περικλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον, Κρονίδεω διὰ βουλάς.
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη
ἀργυφέῃ ἐσθῆτι· κατακρῆθεν δὲ καλύπτρην
δαιδαλέην χείρεσσι κατέσχεθε, θαῦμα ἰδέσθαι·
[ἀμφὶ δὲ οἱ στεφάνους νεοθηλέας ἄνθεσι ποίης
ἱμερτοὺς παρέθηκε καρήατι Παλλὰς Ἀθήνη·].
ἀμφὶ δὲ οἱ στεφάνην χρυσέην κεφαλῇφιν ἔθηκε,
τὴν αὐτὸς ποίησε περικλυτὸς Ἀμφιγυήεις,
ἀσκήσας παλάμῃσι, χαριζόμενος Διὶ πατρί.
τῇ δ' ἐνὶ δαίδαλα πολλὰ τετεύχατο, θαῦμα ἰδέσθαι,
ἀνώδαλ', ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα,
τῶν ὄγε πόλλ' ἐνέθηκε, (χάρις δ' ἀπελάμπετο πολλὴ,
θαυμασίη,) ζωοῖσιν ἐοικότα φωνήεσσιν.

Αὐτὰρ ἐπειδὴ τεῦξε καλὸν κακὸν ἀντ' ἀγαθοῖο,
ἐξάγαγ', ἔνθα περ ἄλλοι ἔσαν θεοὶ ἠδ' ἄνθρωποι,
κόσμῳ ἀγαλλομένην γλαυκώπιδος ὀβριμοπάτρης.
θαῦμα δ' ἔχ' ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους,
ὡς εἶδον δόλον αἰπὺν, ἀμήχανον ἀνθρώποισιν.

Ἐκ τῆς γὰρ γένος ἐστὶ γυναικῶν θηλυτεράων.
τῆς γὰρ ὀλωϊτόν ἐστι γένος· καὶ φῦλα γυναικῶν
πῆμα μέγα θνητοῖσι μετ' ἀνδράσι ναιετάουσιν,
οὐλομένης πενίης οὐ σύμφοροι, ἀλλὰ κόροιο.
ὡς δ' ὁπότ' ἐν σίμβλοισι κατηρεφέεσσι μέλισσαι

tum, delendum statueris, locum suum contra Ruhnkenii objectionem tueri poterit v. 76.

574. ἀργυφέῃ Trinc. Etymolog. M. p. 137, 40. ἀργυφέῃ Ald. Junt. Mox κατακρῆθεν junctim idem Etym. p. 495, 30. cum edd. Junt. probante Ruhnkenio ad H. Cer. 182. καταθῆκεν Bar. Emm.

575. δαιδαλίην — κατέθηκε Em.

576. νεοθηλέος H. Stephanus. νεοθηλέης Trinc. Vide Homer Il. Ξ. 347.

577. ἱμερτούς τε π. Emm.

578. δὲ om. Junt.

582. Ald. Bar. κνώδαλα ὅσσ' ἤπειρος τρέφει. H. Steph. Append. Thes. p. 1243. G. κνώδαλά ὅσσά περ ἤπειρος τρέφει ἠ. θ. et sic ed. Paris. 1544. apud Heynium. Quod editum est, tuentur Zonaras p. 1225. Emm. Trinc.

585. ἐπεὶ τεῦξεν καλὸν κακὸν Hermannus Orphic. p. 817.

587. ὀμβριμοπάτρης Em. Trinc.

590 sq. 612. Uncinis inclusit Wolfius, secutus Heynium. Sed monet postea Pausaniam Attic. p. 58. pro genuinis agnoscere.

593. ἀσύμφοροι Barocc. Ald. ἀσύμφορα Junt. 1. Emm. οὐ σύμφορα Trinc. οὐ σύμφοροι Stobaeus LXXIII. vel LXXI. p. 435. deinde ἀλλ' ὠκόροιο Ald. Junt.

594. ὡς δ' ὅταν Schol. Theocr. I. 107. Edd. Bar. σμήνεσσι. σίμβλοισι R. S. [Virgil. Georg. 4, 168. Rhes.]

κηφῆνας βόσκουσι, κακῶν ξυνήονας ἔργων·
αἱ μέν τε πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἠμάτιαι σπεύδουσι, τιθεῖσί τε κηρία λευκά,
οἱ δ' ἔντοσθε μένοντες ἐπηρεφέας κατὰ σίμβλους,
ἀλλότριον κάματον σφετέρην ἐς γαστέρ' ἀμῶνται·
ὣς δ' αὕτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας
Ζεὺς ὑψιβρεμέτης θῆκε, ξυνήονας ἔργων
ἀργαλέων. ἕτερον δὲ πόρεν κακὸν ἀντ' ἀγαθοῖο·
ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν,
μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ' ἐπὶ γῆρας ἵκηται,
χήτει γηροκόμοιο, δὸ' οὐ βιότου ἐπιδευὴς
ζώει, ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται
χηρωσταί· ᾧ δ' αὖτε γάμου μετὰ μοῖρα γένηται,
κεδνὴν δ' ἔσχεν ἄκοιτιν, ἀραρυῖαν πραπίδεσσι,
τῷ δέ τ' ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει
ἔμμεναι· ὃς δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης,
ζώει ἐνὶ στήθεσσιν ἔχων ἀλίαστον ἀνίην
[θυμῷ καὶ κραδίῃ, καὶ ἀνήκεστον κακόν ἐστιν.]
Ὣς οὐκ ἔστι Διὸς κλέψαι νόον οὐδὲ παρελθεῖν.

595. βόσκωσι κακοὺς Trinc. βόσκωσι Emm. Alii βόσκουσι. βόσκωσι recte legeretur post ὅταν.

596. οἱ μὲν Junt. γε Guietus, probante Wolfio. Antea τε, τοι Emm.

598. Etymolog. M. p. 713, 22. Ibid. ἔνδοσθε — ἐπηρεμφέας Emm.

600. δ' om. Emm. ἑαυτοῖς Trinc.

600 — 609. Citat Stobaeus Flor. LXIX. p. 287. Grot. LXVII. p. 423. Gesn. ubi 602. λευγαλέων. 604. δ' εἰς γῆρας ἵκοιτο. 605. ὅ γ'. 606. διὰ ζωὴν (et Emm.) 608. ἔσχετ'. 609. τῷ δέ τ'. et Emm, Edd. Hesiodi τ' omittunt.

605. ὅ γ' Trinc. βιότου τ' Emm.

606. V. Hom. Il. E. 154. seq.

[607. Stobaeus 146. Reiz.]

608. ἀρηρυῖαν Heynius [et Reisius] et v. seq. ἐπ' αἰῶνος.

609. τῷ δ' ἀπ' Ald. Junt. [τῷ δέπ' ἀπ' Stobaeus. Reiz.]

610. ὃν Bar. Ald. Junt. τίμνῃ Bar. γήμῃ Emm. [De ἔμμεναι Bach. ad Xenophont. Hieron. 7, 11. Reiz.

612. Scio Homerum, Hesiodum, aliosque centies conjungere θυμὸν et κραδίην. At vero, qui στήθεσι, θυμὸν, et κραδίην conjunxerit, scio neminem. Sed vel mediocriter attentus videat, θυμῷ et κραδίῃ natum esse ex interpretatione vocum ἐνὶ στήθεσσιν. Unde autem ἀνήκεστον irrepsit? An glossa dicenda vocis ἀλίαστον? Non, opinor. Quid ergo? Is, qui ἀνήκεστον scripsit, in codice suo pro ἀλίαστον reperit ἀνίαστον. Recte, an secus, nihil ad rem. Hesychius: Ἀνήκεστον· ἀνίαστον. Deleamus igitur h. v. ut sua Hesiodo constet elegantia. Ruhnkenius.

613. Ad Prometheum ejusque poenam poeta revertitur. In eadem fere verba desinit locus in Ἔργ. v. 105. Sagaciter autem Heynius conjicit ex superioribus

οὐδὲ γὰρ Ἰαπετιονίδης ἀπάνευθε Προμηθεὺς
τοῖό γ' ὑπεξήλυξε βαρὺν χόλον, ἀλλ' ὑπ' ἀνάγκης
καὶ πολύϊδριν ἐόντα μέγας κατὰ δεσμὸς ἐρύκει.
Βριάρεῳ δ' ὡς τὰ πρῶτα πατὴρ ἀδύσσατο θυμῷ,
Κόττῳ τ' ἠδὲ Γύγῃ, δῆσε κρατερῷ ἐνὶ δεσμῷ,
ὑβρέην ὑπέροπλον ἀγώμενος ἠδὲ καὶ εἶδος,
καὶ μέγεθος· κατένασσε δ' ὑπὸ χθονὸς εὐρυοδείης.
ἔνθ' οἵγ' ἄλγε' ἔχοντες ὑπὸ χθονὶ ναιετάοντες,
εἶατ' ἐπ' ἐσχατιῇ, μεγάλης ἐν πείρασι γαίης,
δηθὰ μάλ' ἀχνύμενοι, κραδίῃ μέγα πένθος ἔχοντες.
ἄλλα σφέας Κρονίδης τε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνου ἐν φιλότητι,
Γαίης φραδμοσύνῃσιν ἀνήγαγον ἐς φάος αὖτις.
αὐτὴ γάρ σφιν ἅπαντα διηνεκέως κατέλεξε,
σὺν νείνοις νίκην τε καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.
δηρὸν γὰρ μάρναντο, πόνον θυμαλγέ' ἔχοντες,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
ἀντίον ἀλλήλοισι διὰ κρατερὰς ὑσμίνας·
οἱ μὲν ἀφ' ὑψηλῆς Οθρυός Τιτῆνες ἀγανοί,
οἱ δ' ἄρ' ἀπ' Οὐλύμποιο θεοὶ, δωτῆρες ἐάων,
[οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνῳ εὐνηθεῖσα·]
οἵ ῥα τότ' ἀλλήλοισι μάχην θυμαλγέ' ἔχοντες
συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς.
οὐδέ τις ἦν ἔριδος χαλεπῆς λύσις, οὐδὲ τελευτὴ
οὐδετέροις, ἴσον δὲ τέλος τέτατο πτολέμοιο.
ἀλλ' ὅτε δὴ κείνοισι παρέσχεθεν ἅρμενα πάντα,

nonnulla excidisse, quibus respondeant haec quasi pro epiphonemate subjecta. Expectari utique poterat uberior narratio de supplicio Promethei, quod supra tantum obiter attigerat v. 521. Wolfius.

615. Διὸς pro τοῖό Emm. ἀνάγκῃ Ald. Junt.

617. Sic Ald. Bar. Em. Schol. Victor. ad Il. *A*. 403. Ἡσίοδος δὲ, ὃν Βριάρεω ὡς τὰ πρῶτα. Recentiores ὡς πρῶτα. Wolfius ὡς *B*. τὰ π.

622. εἶαται ἐσχατιῇ Trinc. μεγάλοις Emm.

623. Vs. spurius Heynio. μέγα om. Emm.

624. τε om. Emm. τε δ' Ald.

[630. Plutarch. περὶ σαρκοφαγ. λογ. α. extr. τὸ γὰρ ἐν ἡμῖν ἄλογον καὶ ἄτακτον καὶ βίαιον, οὐ θεῖον ἀλλὰ δαιμονικὸν, οἱ παλαιοὶ Τιτᾶνας ὠνόμασαν, καὶ τοῦτό ἐστι κολαζομένου καὶ δίκην διδόντος. Reiz.]

634. Uncinis circumscripsit Wolfius, ut ex 625. repetitum.

637. ἦν om. Ald. Junt.

639. παρέσχεθεν; Jupiter scilicet. Wolfius.

νέκταρ τ' ἀμβροσίην τε, τάπερ θεοὶ αὐτοὶ ἔδουσι,
πάντων ἐν σταθεσσιν ἀέξετο θυμὸς ἀγήνωρ.
ὡς νέκταρ δ' ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινὴν,
δὴ τότε τοῖς μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·

Κέκλυτέ μευ, Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισι
νίκης καὶ κράτεος πέρι μαρναμεθ' ἤματα πάντα,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐκγενάμεσθα.
ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
φαίνετε Τιτήνεσσιν ἐναντίοι ἐν δαὶ λυγρῇ,
μνησάμενοι φιλότητος ἐνηέος, ὅσσα παθόντες
ἐς φάος ἆψ ἀφίκεσθε δυσηλεγέος ἀπὸ δεσμοῦ,
[ἡμετέρας διὰ βουλὰς, ἀπὸ ζόφου ἠερόεντος.]

Ὣς φάτο· τὸν δ' ἐξαῦτις ἀμείβετο Κόττος ἀμύμων·
δαιμόνι' οὐκ ἀδάητα πιφάσκεαι· ἀλλὰ καὶ αὐτοὶ
ἴδμεν ὅτι περὶ μὲν πραπίδες, περὶ δ' ἔστι νόημα,
ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο.
σῇς δ' ὑποφραδμοσύνῃσιν ἀπὸ ζόφου ἠερόεντος
ἄψορρον δ' ἐξαῦτις ἀμειλίκτων ἀπὸ δεσμῶν

[640. Aristotel. Metaphysic. 2, 4. p. 42. Reiz.]

642. Additamentum alienae manus hoc esse putant Guietus et Heyne: mihi quidem versus nunc ferendus videtur. Wolfius. τ' pro δ' Emm. Ald. Bar.

647. περιμαρνάμεθ' Ald. Junt.

648. ἐξεγένοντο R. S. Trinc.

650. φαίνεται — ἐναντίον Trinc.

652. 653. ὑπὸ Emm. Barocc. Ald. Junt. 1. Sic et 657. 658.

653. Versus sine dubio e duabus glossis conflatus est. Wolfius.

656. Guietus em. περί σοι πραπίδες. Malui pro ἔστι scribere ἔσσι, quod magis Homericum est. Wolfius. Sed sic, πραπίδας quoque scribendum monuit Heyne.

657. ἀρεῦς vel ἄρεος legit Dorvillius Crit. Vann. p. 390. probante Wolfio. Sed vide Tollium ad Apollonii Lex. p. 168. [Dorvillius Vanno Critica c. 9. p. 399. legendum ait, ἀρεύς, vel ἄρεος. (Voluit ἄρεως, vel ἄρεω.) Bene. ἀρή, damnum, primam producit apud Homerum et Epicos: at scenici corripiunt. Il. ξ. 485. Γνωτὸν ἐνὶ μεγάροις Ἄρεως ἀλκτῆρα λιτέσθαι. σ. 100. ἐμεῖο δὲ δῆσεν (ἐδέησεν) Ἄρεως ἀλκτῆρα γενέσθαι. cf. ν. 213. Od. τ. 404. Od. γ. 208. Μέντορ, ἄμυνον Ἄρηϊ. Quamquam et his locis quidam jam olim ἀρῆς et ἀρῆϊ legere. Sic Porphyr. Quaest. Homer. 18. ad σ. 100. diserte ait, περισπαστέον δὲ τὸ ἀρῆς, ἵν' ᾖ βλάβης. At Aristarchus, Eustathio auctore, legi volebat Ἄρεα. — Conf. Ἀσπ. 29. Reiz.]

658. σῆσι δ' ἐπιφροσύνῃσιν Ald. Junt. Barocc. R. S. σῆς δ' ὑποφραδμοσύνῃσιν Trinc. quem sequuti sunt plerique ex recentioribus. ἐπιφραδμοσύνῃσιν e conj. Guieti dedit Robinsonus. σῆσιν ἐπιφροσύνῃσιν — ἠερόεντος Emm.

658. 659. transponuntur Em.

659. δ' delent Guietus et Wol-

ἠλύθαμεν, Κρόνου υἱὲ ἄναξ, ἀνάελπτα παθόντες.
τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
δῃσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηϊοτῆτι,
μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας.
Ὣς φατ' ἐκήκησαν δὲ θεοὶ δωτῆρες ἐάων,
μῦθον ἀκούσαντες. πολέμου δ' ἐλελίζετο θυμὸς
μᾶλλον ἔτ' ἢ τοπάροιθε· μάχην δ' ἀμέγαρτον ἔγειραν
πάντες, θήλειαί τε καὶ ἄρσενες, ἤματι κείνῳ,
Τιτῆνές τε θεοί, καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
οὓς τε Ζεὺς Ἐρέβευσφιν ὑπὸ χθονὸς ἦκε φάανδε,
δεινοί τε, κρατεροί τε, βίην ὑπέροπλον ἔχοντες.
[τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
πᾶσιν ὁμῶς. κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.]
οἳ τότε Τιτήνεσσι κατέσταθεν ἐν δαῒ λυγρῇ,
πέτρας ἠλιβάτους στιβαρῇς ἐν χερσὶν ἔχοντες.
Τιτῆνες δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας
προφρονέως; χειρῶν τε βίης δ' ἅμα ἔργον ἔφαινον
ἀμφότεροι· δεινὸν δὲ περίαχε πόντος ἀπείρων·
γῆ δὲ μέγ' ἐσμαράγησεν· ἐπέστενε δ' οὐρανὸς εὐρὺς
σειόμενος, πεδόθεν δ' ἐτινάσσετο μακρὸς Ὄλυμπος
ῥιπῇ ὑπ' ἀθανάτων· ἔνοσις δ' ἵκανε βαρεῖα
Τάρταρον ἠερόεντα, ποδῶν αἰπεῖά τ' ἰωὴ
ἀσπέτου ἰαχμοῖο, βολάων τε κρατεράων.
ὣς ἄρ' ἐπ' ἀλλήλοις ἔσαν βέλεα στονόεντα.
φωνὴ δ' ἀμφοτέρων ἵκετ' οὐρανὸν ἀστερόεντα,
κεκλομένων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
οὐδ' ἄρ' ἔτι Ζεὺς ἴσχεν ἑὸν μένος· ἀλλά νυ τοῦ γε
εἴδαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν

fius. ἄφοβόν δ' una voce H. Steph. [ἄφοβόν. Reiz.] ὑπὸ Emm.

660. ἠλύθομεν κρόνου υἱὲ ξεῦ ἀνάελπα. Trinc. ἠλύθομεν edd. vett. Bar.

669. φάος τε Emm. φάασδε Ald. Junt.

671—5. Uncinis inclusit Wolfius, utpote ex 150. sq. repetitos.

673. μελέεσσιν Emm.

675. στιβαρὰς edd. vett. Bar.

677. προφρονέων Emm.

678. περ ἴαχε Emm. ὑπεριαχε Guietus.

682. ἠερόεντα, ἀδὸν αἰπεῖα τε κρατεάων Emm. ποδῶν δ' Ald. Junt. Bar. ποδῶν τ' αἰπεῖα ἰωὴ Herman. Orphic. p. 815. Ex h. l. Τάρταρον ἠ. citat Plutarch. II. p. 948. F.

688. πλῆντοι Em. ἐν δέ Em.

φαῖνε βίην· ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπ' Ὀλύμπου.
ἀστράπτων ἔστειχε συνωχαδόν· οἱ δὲ κεραυνοὶ
ἴκταρ ἅμα βροντῇ τε καὶ ἀστεροπῇ ποτέοντο
χειρὸς ἀπὸ στιβαρῆς, ἱερὴν φλόγα εἱλυφόωντες
ταρφέες. ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζεν
καιομένη· λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη.
ἔζεε δὲ χθὼν πᾶσα, καὶ Ὠκεανοῖο ῥέεθρα,
πόντος τ' ἀτρύγετος· τοὺς δ' ἄμφεπε θερμὸς ἀϋτμὴ
Τιτῆνας χθονίους· φλὸξ δ' ἠέρα δῖαν ἵκανεν
ἄσπετος· ὄσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
καῦμα δὲ θεσπέσιον κάτεχεν χάος· εἴσατο δ' ἄντα
ὀφθαλμοῖσιν ἰδεῖν, ἠδ' οὔασιν ὄσσαν ἀκοῦσαι,
αὔτως, ὡς ὅτε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
πίλνατο· τοῖος γάρ κε μέγιστος δοῦπος ὀρώρει,
τῆς μὲν ἐρειπομένης, τοῦ δ' ὑψόθεν ἐξεριπόντος.
[τόσσος δοῦπος ἔγεντο θεῶν ἔριδι ξυνιόντων.]
σὺν δ' ἄνεμοι ἔνοσίν τε κόνιν θ' ἅμα ἐσφαράγιζον,
βροντήν τε, στεροπήν τε, καὶ αἰθαλόεντα κεραυνὸν,
κῆλα Διὸς μεγάλοιο. φέρον δ' ἰαχήν τ' ἐνοπήν τε
ἐς μέσον ἀμφοτέρων· ὄτοβος δ' ἄπλητος ὀρώρει

690. συνωλαδόν Emm.
691. εὖ ποτέοντο Bar. Ald. Junt. Trinc. ἀστραπῇ Emm.
692. φλόγα θ'. Copulam delevit Hermannus Orphic. p. 815. et abest. ab Emm.
695. ἔζεσε Emm.
696. ἀμφείπετο Barocc. Ald. Junt. 1.
700. φάος — ἄντια Emm.
703. Trinc. τοῖος γάρ κε μέγας ὑπὸ δ. ὀ.
704. τῆσδ' Emm.
705. ἔπλειτο Barocc. Ald. Junt. Exstat vs. apud Hom. Il. Υ. 66.
706. κόνιν τ' ἐσφράγιζον Trinc. κόνιν τ' ἐσφαράγιζον Ald. Bar. Hesych. ἐσφαράγιζον, ἐδόνουν, μετὰ ψόφου ἤχουν. V. H. Steph. App. Thes. p. 95. E.
709. Schol. notat in quibusdam exemplaribus legi κόναβος, quod prae edita lectione placet. Graevius. Zonaras p. 1476. ὄτοβος ἄπλητος ὀρώρει. Etymolog. M. p. 636. pen. Ἡσίοδος ἔνθα· ὄτοβος δ' ἄτλητος ὀρώρει. ubi recte MS. Dorvill. ἐν. i. e. ἐν Θεογονίᾳ. Prope infinita istiusmodi menda, quae ex scribendi compendiis male intellectis ortum habent, egregii codicis Dorvilliani ope, Etymologo M. detergeri possunt. Specimen unum atque alterum, ne quid temere effutire arguar, deinceps protraham. Ac primum literis ἐν, quibus supra ἐν Θεογονίᾳ significari manifestum est, saepissime utebantur librarii, siquando vel ἔνθα vel ἔνθεν exprimere volebant. Proinde isterum vocum constans in veterum scriptis confusio. Etymolog. p. 266. 15. ἔνθα

σμερδαλέης ἔριδος· κάρτος δ' ἀνεφαίνετο ἔργων. 719
ἐκλίνθη δὲ μάχη. πρὶν δ' ἀλλήλοις ἐπέχοντες.

θ α
καὶ πᾶσι. MS. ἐν καὶ π. Praeclare igitur Sylburgius, ἔνθεν καὶ Πανύασις. Eadem forma post nomen Νίκανδρος, non ἔνθα, uti receperunt Etymologi editores, sed ἐν Θηριακοῖς designat: v. pp. 85, 29. 137, 44. 148, 13. 183, 7. 246, 37. 510, 17. 551, 14. 594, 10. 763, 31. Obiter ex MS. restitue Νίκανδρος ante πᾶς δέ τοι p. 404, 26. — Hesiodus tribus praecipue modis in MSS. denota-
η
tur, viz. Cη ut p. 42, 31. ς ut p.
c
42, 42. vel denique η ut p. 38, 15. Quarum similis alicujus abbreviaturae ignoratio insignem maculam adspersit Etymologo p. 328, 29. Ἔλεψε· Ἰλιάδος Α. (236.) περὶ γὰρ ῥά ἑ χαλκὸς ἔλεψε· περιελέπισε γὰρ αὐτὸ, ὅ ἐστιν ἔγλυψε κ. τ. λ. Deest ante περιελέπισε nominativus, qui tamen haud incommode ex praegresso χαλκὸς suppleatur. At quum MS. praebeat περιελέπισε γὰρ αὐτὸ ἡσίοδος, proculdubio reponendum ex Homeri Scholiaste, unde sua hausit Etymologus, ὁ σίδηρος. — Sexcenties verbum ζήτει usurpat Etymologus, praesertim sub articulorum finem, ubi lectores suos ob pleniorem vocabuli alicujus explicationem alibi
τ
amandat. At compendium ζη, grammaticum quoque Zenodotum, qui cum Zenobio nonnunquam commutatur, designat. Haud mirandum igitur si pro ζήτει alicubi scribendum sit Ζηνόδοτος. Mendum diversi generis obsedit p. 179, 43. ubi pro μεθ' ἑτέρους ζήτει στί-
χ
χους e MS. corrige μ. ε. ζ ϛι i. e. ἐξ στίχους. — Saepenumero allegatur Grammaticus Diogenes, in cujus sedem succedere debeat neque Diogenianus, aliis dijudicandum relinquo. Ambos aeque in-
γ
nuit compendium διο, quod suppeditat MS. p. 187, 25. ubi ed. διὰ τὸ τίλημα. — Theognidis Grammatici nemo, quod sciam, meminit praeter Etymolog. p. 80, 34. ubi MS. Θεγν' i. e. Θεόγνωτος, Canonum Orthographiae scriptor, in MS. Barocc. 50. servatus, cujus nomen haud raro excidit: v. c. p. 293, 30. 596, 39. — Invicem permutari Ἰσοκράτης et Ἰσαῖος haud semel observarunt viri docti. In Etymol. p. 321, 18. MS. habet
ο
Ἴσ. i. e. Ἴσαιος, cum Harpocratione et Suida. Sed aliud quiddam latet p. 790, 55. Φερέτρῳ, τῇ τῶν νεκρῶν κλίνῃ· παρὰ τὸ φέρειν· Κείμενον ἐν φερέτρῳ. Ἰσαῖος. MS. ῖ σ. i. e. Ἰλιάδος Σ. ubi verba occurrunt v. 236. — De nominibus Φιλόξενος et Φίλων consulatur G. Koënius in praef. ad Gregorium de Dialectis. Etymol. p. 57, 41. pro Φιλόξενος MS. exhibet Φίλων ξ, ς et p. 675, 28. φιλ. Posteriorem locum e codice integrum excerpam: πλεῖος οὖν καὶ πλειότερος. ἡμάρτηται δὲ ὁμολογουμένως τὸ πολὺ χειορότερον (l. χειρότερον) παρὰ Ἡσιόδῳ· καὶ γὰρ συγκριτικὸν ὂν τὸ χεῖρον, συγκριτικὸν ἐποίησεν· ὅπερ ἀδύνατον. Καὶ εἰ ὅλως ὤφειλεν εἰπεῖν, χειρονέστερον ὤφειλεν. τί οὖν ἡσίοδος;
τ η
ἴσως παρὰ τὸ χεῖρος. ε φιλ. ρ. Paullo inferius p. 683, 24. ubi ed. Φίλων δὲ μνημονεύει, aliquis fortasse e Suida substituendum putet Δίφιλος. Sed majus quiddam praesta-
ο
bit MS. Δίφιλος ἐνσχεδῑμνημ, i. e. ἐν Σχεδίᾳ μνημονεύει, cujus quidem fabulae mentionem alibi reperire non recordor. Millies in librorum titulis tam omittendis quam perperam describendis peccatum est. Quod obiter post multos alios moneo. P. 194, cum

ἐμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας.
οἳ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν,

Schol. Sophocl. Oed. Col. 5. pro Σοφοκλῆς ἐν Οἰδίποδι MS. Σ. ἐν Συνδείπνῳ. Quod in ed. omissum est, post Σοφοκλῆς p. 597, 44. Τρωΐλῳ suppeditat MS. P. 174, 31. Εὔπολις ἐν Δραπέταις. Fabulam Δραπέται solius Etymologi auctoritate Eupolidi adscribit Fabricius; sed quum MS. praebeat

δ
εὐπο] ἀν. fabula commentitia in exilium abeat, postliminio recipiatur Εὔπολις Ἀνδρογύνοις. P. 340, 5. Φρύνιχος κοινοτίδητον ἐνεργμόν. MS. κοννωτίδ, τ' ἐνεργ'. Legendum, Φρύνιχος Κόννῳ· τί δαί; τὸν ἐνεργμὸν — P. 151, 17. Δημοσθένης ἐν τῇ πρὸς Λάκριτον ἀπολογίᾳ γράφει. MS. Δ. ἐν τῇ πρὸς

υ ρ ρ
λακριτ π γ. i. e. πρὸς Λακρίτου παραγραφήν. P. 33, 3. Αἰθὴρ, παρὰ τὸ ἀεὶ θεῖν κυκλοφορικῶς, φησὶν Ἀριστοτέλης περὶ Κυρηναίων. Pro

ο
voce Κυρηναίων MS. optime κ, i. e. κόσμου. Quippe locus ad quem respexit Grammaticus diserte legitur in libro De Mundo c. 2. p. 3, 5. ed. Sylburg. P. 451, 52. Θησεῖ[illegible]ιψ· ὁ ἐν τῷ Θησείῳ διατρίψας. Ἀριστοφάνης Πολυΐδῳ. καὶ θησομύζειν δὲ τὸ ἐν αὐτῷ λέγειν. Postrema sensu omnino cassa sunt.

τ τ ε
MS. εν ἀν λ. i. e. ἐν τῷ αὐτῷ λέγεται. Ambae scilicet voces in Aristophanis Polyido inveniebantur.

Atque haec pauca de compendiis, quae per usitata alphabeti elementa peraguntur, dicta sunto. Difficilioris longe generis sunt ea, quae, siglis ad tachygraphi arbitrium confictis repraesentata, ne unam quidem vocis significatae literam praeferunt. Exempli gratia, Etymol. M. p. 28, 16. MS. pro ὀφθαλμοῖς habet Θ, sive circulum punctulo confossum, literae Θῆτα majoris formae apprime similem. Plura istiusmodi videsis apud Montefalconium Palaeograph. L. V. p. 344. Ducangium Append. Glossar. quibus, ne lectoribus meis nimis sim molestus, unum tantummodo adjiciam. Sed primo huc transferenda est Ruhnkenii observatio ad Apollon. Rhod. I. 1213. ex Epist. Crit. II. pag. 203.

„Hunc versum ita laudat Tzetzes ad Lycophr. 480. ἐκ Δρύοπος Δρύοπες, οἱ περὶ Παρνασὸν, ὥς φησιν Ἥλιος· Δίου Θειοδάμαντος, ὃν ἐν Δρυόπεσσιν ἔπεφνε. At quis, quaeso, est novus ille et inauditus poëta Ἥλιος, cui versus tribuitur? Nempe est ipse Apollonius Rhodius, qui hoc cognomen nescio unde invenit. Hujus rei notitiam uni debemus Grammatico veteri in Catalogo Bibliothecae Matrit. p. 449. Ζῆτα τὸ στοιχεῖον ἀπὸ Ζήτου τοῦ Βορέου, οὗ μέμνηται Ἥλιος Ἀπολλώνιος ὁ ποιητὴς, scil. I. 211. Eadem habet Etymol. M. p. 406. l. 38. sed sine illo cognomine. Nominis ratio magis quaeritur ab Iriarte, quam reperitur. Ἡλιάδης si dictus esset Apollonius, intelligerem Ῥόδιος. Jam autem, cognomine per illum Grammaticum cognito, facile est emendare eundem Tzetzen ad Lycophr. 208. Δελφίνιος μὲν, ὅτι τὸν ἐν Πυθῶνι δελφῖνα δράκοντα τοξεύσας ἀνεῖλε, Λητὼ βιάζοντα, ὥς φησιν Ἡλιόδωρος· Ὁππότε πετραίῃ ὑπὸ δειράδι Παρνησοῖο Δελφίνην τόξοισι πελώριον ἐξενάριξεν. Versus enim allati eum sint Apollonii II. 707. perspicuum est, pro Ἡλιόδωρος scribendum esse Ἥλιος."

Si Ruhnkenio fuisset ad manus codex Dorvillianus, tam in Tzetze, quam in Etymologo quantocius reponendum vidisset Ἀπολλώνιος. Scilicet nomina ἥλιος v. p. 177, 27. Ἀπόλλων, 243, 4. Ἀπολλώνιας 27, 3. Ἀπολλώνιος 32, 11.

Κύττος τε, Βριάρεώς τε, Γύγης τ' ἄατος πολέμοιο.
οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
πέμπον ἐπασσυτέρας, κατὰ δ' ἐσκίασαν βελέεσσι
Τιτῆνας· καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
πέμψαν, καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν,
νικήσαντες χερσὶν, ὑπερθύμους περ ἐόντας,
τόσσον ἔνερθ' ὑπὸ γῆς, ὅσον οὐρανὸς ἔστ' ἀπὸ γαίης.
[ἶσον γάρ τ' ἀπὸ γῆς ἐς Τάρταρον ἠερόεντα.]
ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
οὐρανόθεν κατιὼν, δεκάτῃ ἐς γαῖαν ἵκοιτο·

et alibi saepissime eodem signo ϛ exprimuntur. [Vid. Bast. et Schaefer. ad Hemsterhusii Plutum p. XLII. seqq. et Porsoniana a Kiddio edita p. 288. Ed. Lips.] Nota, tam late patens, haud mirandum est, si menda quam plurima propagaverit. Sic pp. 687, 6. 779, 54. vice Ὅμηρος, MS. praebet, sed arcano isto charactere, quem modo exposui, Ἀπολλώνιος. Prior locus est Argon. IV. 800. posterior II. 4. P. 494, 50. post ἄλός, MS. supplet ἥδ'. Scriba proculdubio voluit ἥλιος. Sed redeat, unde per vim dejectus est, Ἀπολλώνιος, cujus verba sunt II. 595. Longe insignior est corruptio, quam olim a se sagaciter detectam, mecum communicavit Porsonus ὁ μακαρίτης. Etymologus, p. 797, 30. Φοινικοῦν, ἐρυθρὸν, πυῤῥόν· ἢ τὸ μέλαν. Γίνεται παρὰ τὸ φοινίσσω τὸ βάπτω· ἢ παρὰ τὸ φοινόν· τοῦτο παρὰ τὸ φόνος· πλεονασμῷ τοῦ ι καὶ καταβιβάσει τοῦ τόνου, φοινὸς, ἤγουν πυῤῥός· φόνιος, ὅτι φονοδακεῖ. MS. ϛ φονοδακή. Particulae ὅτι forma compendiaria ϛ ab altera illa, quam e MS. protuli, tenui tantum lineola discrepat. Causa igitur non longe arcessenda est, quare Ἀπολλώνιος in edito Etymologo sedem propriam amiserit. Ceterum pro φονοδακῇ haud dubitanter corrige φοινὰ δάκῃ ex Nicandri Theriac. 146. Quod autem pro Nicandro Apollonii nomen in testimonium citetur, non librariis, sed ipsius grammatici incuriae tribuendum est.

720. ἔνερθ' ἀΐδης Emm.

721. 2. 3. om. Emm.

721. Profecto subit mirari, absurdum stolidi Grammatici emblema tot Criticorum acumen effugisse. Hesiodus imitatur Homerum Il. Θ. 15. 16. Ἧ μὲν ἐλὼν ὁίῳτε ἐς Τάρταρον ἠερόεντα, Τόσσον ἔνερθ' Ἀΐδεω, ὅσον οὐρανὸς ἔστ' ἀπὸ γαίης. Ab alterutro Lucretius IV. 418. *Despectum praebet sub terrus impetu tanto, A terris quantum coeli patet altus hiatus* Hesiodea, sed sine turpissima ista cauda, expressit Apollodorus, I. p. 2. In Homerico loco, quem adscripsimus, Heraclides Allegor. p. 457. vel maxime admiratur brevitatem, qua sphaerica mundi figura uno versu concluditur. Quid doctum hominem censes, si hunc Pseudo-Hesiodum legisset, dicturum fuisse? Adde Leontium de Sphaera Aratea p. 151. ed. Morell. Librarius codicis Regii ex binis versibus unum fecit: Τόσσον δ' αὖ ἀπὸ γαίης ἐς Τάρταρον ἠερόεντα, et v. 721. de quo jamdudum disputamus, post v. 723. posuit. Quod certissimo argumento est, eum ab aliena manu venisse. Nam spuria solere incertis sedibus vagari, Critici centies monuerunt. Haec quoque crisis nostra placuit idoneo judici, Heynio. Ruhnkenius.

ἐννέα δ' αὖτ' νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
ἀπ γαίης κατιὼν, δεκάτῃ ἐς Τάρταρον ἵκοι.
τὸν πέρι χάλκεον ἕρκος ἐλήλαται· ἀμφὶ δέ μιν νὺξ
τριστοιχεὶ κέχυται περὶ δειρὴν· αὐτὰρ ὕπερθεν
γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης.
ἔνθα θεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
κεκρύφαται, βουλῇσι Διὸς νεφεληγερέταο,
[χώρῳ ἐν εὐρώεντι, πελώρης ἔσχατα γαίης.]
τοῖς οὐκ ἐξιτόν ἐστι· πύλας δ' ἐπέθηκε Ποσειδᾶων
χαλκείας· τεῖχος περάαται δ' ἀμφοτέρωθεν.
ἔνθα Γύγης, Κόττος τε, καὶ ὁ Βριάρεως μεγάθυμος
ναίουσιν, φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.
ἐνθάδε γῆς ὀνοφερῆς, καὶ Ταρτάρου ἠερόεντος,
πόντου τ' ἀτρυγέτοιο, καὶ οὐρανοῦ ἀστερόεντος,
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
ἀργαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοὶ περ,
χάσμα μέγ'. οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
οὐδὰς ἵκοιτ', εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο.
ἀλλά κεν ἔνθα καὶ ἔνθα φέροι πρὸ θύελλα θυέλλῃ
ἀργαλέη· δεινόν τε καὶ ἀθανάτοισι θεοῖσι
τοῦτο τέρας· καὶ νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ
ἕστηκεν, νεφέλῃς κεκαλυμμένα κυανέῃσι.

724. ἐννέα γὰρ Emm.

725. δεκάτῃ δ' Barocc. Ald. Junt. Tr. ἥκοι ed. Paris. ἵκοιτο Ald. Junt. Trinc. Bar.

726. Post h. v. τόσσαν δ' αὖ ἀπὸ γαίης ἐς τάρταρον ἠερόεντα Emm.

727. Mos Hesiodeus postulat δειρὴν πέρι. HERMANNUS.

728. πεφύασι Bar. Emm. Ald. Alterum habet Trinc.

729. Mera repetitio est e superioribus in vv. 729 — 733. 736 — 744. In ultimis καὶ Νυκτὸς ἐρ. parum commode dictum est, cum saltem repetitum esse deberet ἔνθα, ut 758. 767. HERMANNUS.

730. διὸς μεγάλοιο ἕκητι Emm.

731. πελώρης τ' Emm.

Ibid: Uncinis inclusit Wolfius, post Guietum.

732. οὐκ ἐξ ὑπόντον ἐστι Emm. Θύρας — Ποσειδέων Trinc.

733. τεῖχος δέ περ οἶκεται Barocc. Ald. Junt. 1. περοίχεται Hermannus Orphic. p. 820. explicat Schol. per περιτρέχει.

736. In seqq. dubito an omnia ab Hesiodo sint, et satis sana. Partim haec jam antea dicta, partim versus ab Homero mutuati sunt, ut statim v. 739. ex Il. T. 65. WOLFIUS.

740. πάντα om. Emm.

741. Malit Guietus ἵκοι' — γένοιτο. Sed forte τις intelligi debet. WOLFIUS.

742. φέρει προθύελλα Bar. Ald. Junt. Trinc. cf. H. Steph. Thes. T. I. p. 1630. E.

743. τε μὲν Trinc.

744. ἐρεβεννῆς Trinc. qui om. καὶ.

Τῶν πρόσθ' Ἰαπετοῖο πάϊς ἔχει οὐρανὸν εὐρὺν
ἑστηὼς, κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν
ἀστεμφέως, ὅθι Νύξ τε καὶ Ἡμέρη ἆσσον ἰοῦσαι
ἀλλήλας προσέειπον, ἀμειβόμεναι μέγαν οὐδὸν,
χάλκεον· ἡ μὲν ἔσω καταβήσεται, ἡ δὲ θύραζεν
ἔρχεται, οὐδέ ποτ' ἀμφοτέρας δόμος ἐντὸς ἐέργει·
ἀλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα,
γαῖαν ἐπιστρέφεται· ἡ δ' αὖ δόμου ἐντὸς ἐοῦσα,
μίμνει τὴν αὐτῆς ὥρην ὁδοῦ, ἐξ' ἂν ἵκηται.
[ἡ μὲν, ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα·
ἡ δ' Ὕπνον μετὰ χερσὶ, κασίγνητον Θανάτοιο,
Νὺξ ὀλοὴ, νεφέλῃ κεκαλυμμένη ἠερσειδεῖ.]
Ἔνθα δὲ Νυκτὸς παῖδες ἐρεμνῆς οἰκί' ἔχουσιν,
Ὕπνος καὶ Θάνατος, δεινοὶ θεοί· οὐδέ ποτ' αὐτοὺς
ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν,
οὐρανὸν εἰσανιὼν, οὐδ' οὐρανόθεν καταβαίνων.
τῶν ἕτερος μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
ἥσυχος ἀνστρέφεται καὶ μείλιχος ἀνθρώποισι·
τοῦ δὲ σιδηρείη μὲν κραδίη, χάλκεον δέ οἱ ἦτορ
νηλεὲς ἐν στήθεσσιν· ἔχει δ', ὃν πρῶτα λάβῃσιν
ἀνθρώπων· ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσιν.
Ἔνθα θεοῦ χθονίου πρόσθεν δόμοι ἠχήεντες
ἰφθίμου τ' Ἄϊδεω καὶ ἐπαινῆς Περσεφονείης
ἑστᾶσιν, δεινὸς δὲ κύων προπάροιθε φυλάσσει,
νηλειὴς, τέχνην δὲ κακὴν ἔχει· ἐς μὲν ἰόντας
σαίνει ὁμῶς οὐρῇ τε καὶ οὔασιν ἀμφοτέροισιν,

747. καὶ om. Emm.
748. τε om. Emm.
Ibid. ἆσσον Graevius e Schol. ἐάσσον Barocc. Ald. Junt. 1. Edd. Trinc. et al. ἀμφὶς, quod defendit Heynius, interpretatus, *utrinque accedunt*, unaquaeque pro se, a diversis partibus.
749. ἀλλήλαις Trinc. ἀλλήλοις Emm.
750. Guietus corr. καταδύεται. Sed futurum a Graecis saepius pro aoristo ponitur solet. Wolfius.
753. δόμοις Emm.
05— 757. Uncinis inclusit Wolfius, secutus Heynium.
755. ἐπιχθονίῃσι Emm. Trinc.
759. Vide Homer. Od. *A*. 15. sqq.
762. τῶν δ' Trinc.
765. ἀναστρέφεται Emm. Junt.
764. σιδηρείη Emm.
767. Guietus conj. θεῶν χθονίων; dubito an vere. Ad utrumque numen referri potest etiam singularis: et quaeri adhuc licet, num sequens versus Hesiodeus sit, quem explicandi caussa adscripsere aliquis potuit ex Hom. Od. K. 534. *A*. 47. Wolfius.
769. ἑστῶσιν Emm.

ἐξελθεῖν δ' οὐκ αὖτις ἐᾷ πάλιν, ἀλλὰ δοκεύων
ἐσθίει, ὅν κε λάβῃσι πυλέων ἔκτοσθεν ἰόντα
[ἰφθίμου τ' Ἀΐδεω καὶ ἐπαιτῆς Περσεφονείης.]
Ἔνθα δὲ ναιετάει στυγερὴ θεὸς ἀθανάτοισι,
δεινὴ Στὺξ, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο
πρεσβυτάτη. νόσφιν δὲ θεῶν κλυτὰ δώματα ναίει
μακρῇσιν πέτρῃσι κατηρεφέ· ἀμφὶ δὲ πάντη
κίοσιν ἀργυρέοισι πρὸς οὐρανὸν ἐστήρικται.
[παῦρα δὲ Θαύμαντος θυγάτηρ πόδας ὠκέα Ἶρις,
ἀγγελίης πωλεῖται ἐπ' εὐρέα νῶτα θαλάσσης,
ὁππότ' ἔρις καὶ νεῖκος ἐν ἀθανάτοισιν ὄρηται.]
καί ῥ' ὅς τις ψεύδηται Ὀλύμπια δώματ' ἐχόντων,
Ζεὺς δέ τε Ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι
τηλόθεν ἐν χρυσέῃ προχόῳ πολυώνυμον ὕδωρ,
ψυχρὸν, ὅ τ' ἐκ πέτρης καταλείβεται ἠλιβάτοιο
ὑψηλῆς. πολλὸν δέ θ' ὑπὸ χθονὸς εὐρυοδείης
ἐξ ἱεροῦ ποταμοῖο ῥέει διὰ νύκτα μέλαιναν,
ὠκεανοῖο κέρας· δεκάτη δ' ἐπὶ μοῖρα δέδασται.
ἐννέα μὲν πέρι γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίνῃς ἀργυρέῃς εἰλιγμένος εἰς ἅλα πίπτει,
ἡ δὲ μί' ἐκ πέτρης προφέει, μέγα πῆμα θεοῖσιν.
ὅς κεν τὴν ἐπίορκον ἀπολείψας ἐπομόσσῃ
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,
κεῖται νήϋτμος τετελεσμένον εἰς ἐνιαυτόν·

774. vs. delendus, quippe huc retractus ex 768. et abest a MS. Paris. Ruhnkenius. abest quoque ab Emm.

[780. Vid. Platon. Theaet. p. 155. D. Hst. Ed. Lips.]

780—783. Hi versus, si sensum diligentius spectes, ita inepti sunt, ut nihil supra, et Heynius eos jam antea suspectos fecerat. Tamen uncis his, si alibi usquam, mihi ipse non satisfacio. Praesertim verba καί ῥ' ὅστις ψ. ὁ. tam arcte cohaerent cum seq. versu, ut amoveri vix possint. Wolfius.

781. ἀγγελίη Trinc. R. S. ἀγελίην Emm. cf. Il. Λ. 140.

783. καί ῥ' ὅς κε ψεύσηται Trinc. ὅς κε ψεύδηται Paris.

784. τ' ἔριν Emm.

785. πολυόμβριμον Emm.

786 — 792. Septem hos versus spurios judicat Guietus, nescio quo consilio; forte quia obscuri erant. Wolfius.

787. δέ θ'. Sic Emm. δ' ὑπό Ald. Junt.

791. εἰλιγμένα Emm.

792. προφέρει Junt. 2.

793. τὸν — ἐπομώσει Emm.

795. νηπότμος Barocc. Ald. Junt. Etymolog. M. p. 605, 29. Νήϋγμος· Ἡσίοδος, κεῖται νήϋγμος: — ἄπνους, ἄφωνος. Νήϋτμον habet Zonaras. νήϋτμος Emm.

οὐδέ ποτ' ἀμβροσίης καὶ νέκταρος ἔρχεται ἆσσον
βρώσιος, ἀλλά τε πεῖται ἀνάπνευστος καὶ ἄναυδος
στρωτοῖς ἐν λεχέεσσι, κακὸν δ' ἐπὶ πῶμα καλύπτει.
αὐτὰρ ἐπὴν νοῦσον τελέσῃ μέγαν εἰς ἐνιαυτὸν,
ἄλλος δ' ἐξ ἄλλου δέχεται χαλεπώτατος ἆθλος.
ἐννάετες δὲ θεῶν ἀπομείρεται αἰὲν ἐόντων,
οὐδέ ποτ' ἐς βουλὴν ἐπιμίσγεται, οὐδ' ἐπὶ δαῖτας,
ἐννέα πάντ' ἔτεα· δεκάτῳ δ' ἐπιμίσγεται αὖτις
εἰρέας ἀθανάτων, οἳ Ὀλύμπια δώματ' ἔχουσι.
τοῖον ἄρ' ὅρκον ἔθεντο θεοὶ Στυγὸς ἄφθιτον ὕδωρ,
ὠγύγιον, τὸ δ' ἵησι καταστυφέλου διὰ χώρου.
[Ἔνθα δὲ γῆς δνοφερῆς, καὶ Ταρτάρου ἠερόεντος,
πόντου τ' ἀτρυγέτοιο, καὶ οὐρανοῦ ἀστερόεντος,
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
ἀργαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ.
ἐνθάδε μαρμάρεαί τε πύλαι, καὶ χάλκεος οὐδὸς
ἀστεμφὴς, ῥίζῃσι διηνεκέεσσιν ἀρηρὼς,
αὐτοφυής· πρόσθεν δὲ, θεῶν ἔκτοσθεν ἁπάντων,
Τιτῆνες ναίουσι, πέρην Χάεος ζοφεροῖο.

800. χαλεπώτερος Emm. Trinc. et mox ἀπαμείρεται Trinc. ἀπομείρετο Emm. Ἀπαμείρεται tanquam genuinam in Thesauro suo agnoscit H. Steph. Sane ab antiquis Grammaticis videmus distingui ἀπομείρομαι et ἀπαμείρομαι. Eustath. vero non sensu, sed scriptura modo utrumque verbum differre putat ad Il. Φ. p. 1243, 22. ubi nostrum locum respicit. Wolfius.

802. ἐπιμίσγεται. Forte legendum hic et 803. ἐπινίσσεται. Nunc tamen, re diligentius cogitata, in Hesiodo ἐπιμίσγεται servem, sed v. 804. corrigam Εἴραις ἀθανάτων. Nam forma εἰρέα vitii suspicionem habet, nec apud ullum veterem scriptorem, aut Glossographum reperitur. Ruhnkenius.

807. Ad verbum hic repetiti sunt quatuor versus e superioribus a v. 736. quod nemo facile dixerit poetae consilio esse factum. Mox versus Theogoniae 811. vix verbo mutato exstat ap. Homer. Il. Θ. 15. Porro, quod v. 814. dicitur de Titanum domicilio, paullo superius etiam legimus vv. 729. 730. ubi id, quod ibi est ὑπὸ ζόφῳ ἠερόεντι, exprimitur nunc πέρην Χάεος ζοφεροῖο. Tandem, qui de Centimanis subjicitur locus, non minus repetitus est e vv. 734. 735. Sed et nova et a nemine forte praeter Hesiodum memorata fabula de Cymopolaea filia Neptuni a v. 817. accessit. Si de prioribus illis vix dubium esse possit, quin spurii sint, certe hoc loco non ferendi, extremos tamen hos versus propter mythi insolentiam nemo expungat. Hos equidem uncis non complexus essem, si minus arcte cum reliquis juncti fuissent. Wolfius.

811. λάϊνος οὐδὸς Barocc. Ald. Junt. Mox διηνεγκέεσσιν Junt.

812. ἀστεμφῆς cum Gl. ἀμετατρέπτοις Bar.

814. μένουσι Emm.

ASHMOLEAN OXFORD MUSEUM

αὐτὰρ ἐρισμαράγοιο Διὸς κλειτοὶ ἐπίκουροι
δώματα νιφετάουσιν ἐπ' Ὠκεανοῖο θεμέθλοις,
Κόττος τ' ἠδὲ Γύγης· Βριάρεών γε μὲν ἠΰν ἐόντα,
γαμβρὸν ἑὸν ποίησε βαρύκτυπος Ἐννοσίγαιος,
δῶκε δὲ Κυμοπόλειαν ὀπυίειν, θυγατέρα ἥν.]

Αὐταρ ἐπεὶ Τιτῆνας ἀπ' οὐρανοῦ ἐξέλασε Ζεὺς,
ὁπλότατον τέκε παῖδα Τυφωέα Γαῖα πελώρη,
Ταρτάρου ἐν φιλότητι, διὰ χρυσῆν Ἀφροδίτην.
οὗ χεῖρες μὲν ἔασιν ἐπ' ἰσχύϊ ἔργματ' ἔχουσαι,
καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ· ἐκ δέ οἱ ὤμων
ἦν ἑκατὸν κεφαλαὶ ὄφεος, δεινοῖο δράκοντος,
γλώσσῃσι δνοφερῇσι λελιγμότος, ἐκ δέ οἱ ὄσσων
θεσπεσίῃς κεφαλῇσιν ὑπ' ὀφρύσι πῦρ ἀμάρυσσε·
[πασέων δ' ἐκ κεφαλέων πῦρ καίετο δερκομένοιο,]
φωναὶ δ' ἐν πάσῃσιν ἔσαν δεινῇ κεφαλῇσι,
παντοίην ὄπ' ἰεῖσαι, ἀθέσφατον. ἄλλοτε μὲν γὰρ
φθέγγονθ', ὡς τε θεοῖσι συνιέμεν· ἄλλοτε δ' αὖτε
ταύρου ἐριβρύχεω, μένος ἀσχέτου, ὄσσαν ἀγαύρου·
ἄλλοτε δ' αὖτε λέοντος ἀναιδέα θυμὸν ἔχοντος·
ἄλλοτε δ' αὖ σκυλάκεσσιν ἐοικότα, θαύματ' ἀκοῦσαι·
ἄλλοτε δ' αὖ ῥοίζασχ', ὑπὸ δ' ἤχεεν οὔρεα μακρά.
καὶ νύ κεν ἔπλετο ἔργον ἀμήχανον ἤματι κείνῳ,

815. κλειτοί τ' Ald. Bar.
819. ὀπύειν Bar. Ald. Junt. 1. ὀπύει Emm. v. Porson. ad Hom. Od. Δ. 798.
820. ἐξ οὐρ. ἐξέλασχε Emm.
823. θαῦμα ἀκοῦσαι Guietus. ἰσχύος conj. Wolfius. ἐπισχερὼ ἔργματ' ἔχουσαι Heynius.
825. κρατεροῖο δρ. Trinc. R. S. Emm.
826. λελειχμότες. Positum videri possit masculinum pro foeminino; cujus insolentioris formae exempla suppeditant auctores de dialectis, ut πυρᾶν τεθεσθέντων, σπονδᾶν ἑόντων. In Homero ipso Il. Θ. 455. πληγέντε κεραύνῳ est de solis deabus. Cf. Schol. ad Sophocl. Oed. Col. 1747. Nescio vero an praeferenda sit Guieti conjectura λελειχμόζος, ut non cum κεφαλαί, sed cum ὄφιος jungatur participium. Versum sequentem, inutile glossema, primus detexit Ruhnkenius, (Ep. Crit. p. 55.) ego uncis coercui. Wolfius. Guieti emend. probat Schaeferus ad Gregorium de Dial. p. 889 et sic edidi, ex Bar. et Emm. ubi λελιχμότος.
827. Etymolog. M. p. 77, 27.
828. δ' om. Emm.
830. Mirum videtur Stephano quare non scribatur ὅφ' ἰεῖσάι, qui nihil tamen mutat ob Homeridae H. Dian. 18. ubi ἄμβροτον ὄσσαν ex Nostro supra 43. malit Hermannus.
831. Versum delet Guietus, depravatum, si non interpolatum, censet Wolfius. In seq. edd. antiquae Bar. ἄσχετον.
835. ῥοίζεσχ' Emm.

καὶ κεν ὅγε θνητοῖσι καὶ ἀθανάτοισιν ἄναξεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
σκληρὸν δ' ἐβρόντησε καὶ ὄβριμον, ἀμφὶ δὲ γαῖα
σμερδαλέον κονάβησε, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
πόντος τ', Ὠκεανοῦ τε ῥοαὶ, καὶ Τάρταρα γαίης.
ποσσὶ δ' ὑπ' ἀθανάτοισι μέγας πελεμίζετ' Ὄλυμπος
ὀρνυμένοιο ἄνακτος· ἐπεστενάχιζε δὲ γαῖα.
καῦμα δ' ὑπ' ἀμφοτέρων κάτεχεν ἰοειδέα πόντον,
βροντῆς τε, στεροπῆς τε, πυρός τ' ἀπὸ τοῖο πελώρου,
πρηστήρων τ', ἀνέμων τε, κεραυνοῦ τε φλεγέθοντος.
ἔζεε δὲ χθὼν πᾶσα, καὶ οὐρανὸς, ἠδὲ θάλασσα·
θῦε δ' ἄρ' ἀμφ' ἀκτὰς, περὶ τ' ἀμφί τε κύματα μακρὰ
ῥιπῇ ὑπ' ἀθανάτων. ἔνοσις δ' ἄσβεστος ὀρώρει.
τρέσσε δ' Ἀΐδης δ' ἐνέροισι καταφθιμένοισιν ἀνάσσων,
Τιτῆνές θ' ὑποταρτάριοι, Κρόνον ἀμφὶς ἐόντες,
ἀσβέστου κελάδοιο καὶ αἰνῆς δηϊοτῆτος.
Ζεὺς δ' ἐπεὶ οὖν κόρθυνεν ἑὸν μένος, εἵλετο δ' ὅπλα,
βροντήν τε, στεροπήν τε, καὶ αἰθαλόεντα κεραυνὸν,
πλῆξεν ἀπ' Οὐλύμποιο ἐπάλμενος· ἀμφὶ δὲ πάσας
ἔπρεσε θεσπεσίας κεφαλὰς δεινοῖο πελώρου.
αὐτὰρ ἐπεὶ δή μιν δάμασε πληγῇσιν ἱμάσσας,
ἤριπε γυιωθείς, στενάχιζε δὲ γαῖα πελώρη.
φλὸξ δὲ κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος,
οὔρεος ἐν βήσσῃσιν ἀϊδνῆς, παιπαλοέσσης,
πληγέντος· πολλὴ δὲ πελώρη καίετο γαῖα

840. ἐγγὺς Emm.
843. ὑπεστονάχιζε Emm.
844. ἀμφοτερηνων Emm.
845. πυρός τ' Emm.
Ibid. Copulam post πυρὸς adjecit post Guietum Wolfius, qui versum seq. suspectum habet.
846. τ' om. Ald. Junt. et τε v. 848.
847. ἔζεε πυρὶ Emm. ἔ. πυρὶ χ. Trinc.
849. ῥιπῆς Emm.
850. Edd. vett. τρέσσε δ' Ἀΐδης v. H. Steph. App. Dial. Att. p. 94.
851. Τιτῆγες δ' Emm. Κρόνου Ald. Bar.
Ibid. Versus est unus, in quo velut obiter mentio injicitur Oroni, cum reliquis Titanibus in Tartarum dejecti. Verba iterum paene Homerica sunt ex Il. Ξ. 274. ubi memorantur οἱ ἔνερθε θεοὶ, Κρόνον ἀμφὶς ἐόντες, qui explicantur deinde v. 279. ὑποταρτάριοι, οἳ Τιτῆνες καλέονται. Haec tanta similitudo vereor ne alicui recte scrupulum injiciat. Wolfius.
853. κέρθυνεν — εἵλετο Emm.
856. Ἔπρεσε Ald. Junt. Baroco. ἔπρεσε Zonaras p. 1585. Etymol. M. 687. 40. ἔπερσε Emm.
858. γυρωσθεὶς Emm. στονάχιζε Trinc. ἐστέναζε Bar.
859. 860. Etymolog. M. p. 41. pen. deest locus in MS. Dorvill.
859. νοῖο Emm.

ἀτμῇ θεσπεσίῃ, καὶ ἐτήκετο κασσίτερος ὡς,
τέχνῃ ὑπ' αἰζηῶν ὑπό τ' εὐτρήτου χοάνοιο
θαλφθείς, ἠὲ σίδηρος, ὅπερ κρατερώτατός ἐστιν,
ὄβριος ἐν βήσσῃσι δαμαζόμενος πυρὶ κηλέῳ
τήκεται ἐν χθονὶ δίῃ, ὑφ' Ἡφαίστου παλάμῃσιν,
ὣς ἄρα τήκετο γαῖα σέλᾳ πυρὸς αἰθομένοιο.
ῥίψε δέ μιν θυμῷ ἀκάχων ἐς Τάρταρον εὐρύν.

Ἐκ δὲ Τυφωέος ἔστ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
νόσφι Νότου, Βορέω τε, καὶ ἀργέστεω Ζεφύροιο.
οἵ γε μὲν ἐκ θεόφιν γενεῇ, θνητοῖς μέγ' ὄνειαρ,
αἱ δ' ἄλλαι μαψαῦραι ἐπιπνείουσι θάλασσαν,
αἳ δή τοι πίπτουσαι ἐς ἠεροειδέα πόντον,
πῆμα μέγα θνητοῖσι, κακῇ θύουσιν ἀέλλῃ·
ἄλλοτε δ' ἄλλαι ἄεισι, διασκιδνᾶσί τε νῆας,
ναύτας τε φθείρουσι· κακὸν δ' οὐ γίνεται ἀλλὴ
ἀνδράσιν, οἳ κείνῃσι συναντῶσιν κατὰ πόντον·
αἱ δ' αὖ καὶ κατὰ γαῖαν ἀπείριτον ἀνθεμόεσσαν
ἔργ' ἐρατὰ φθείρουσι χαμαιγενέων ἀνθρώπων,
πιμπλεῦσαι κόνιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.

Αὐτὰρ ἐπεὶ ῥα πόνον μάκαρες θεοὶ ἐξετέλεσσαν,
Τιτήνεσσι δὲ τιμάων κρίναντο βίηφι·

Ibid. Tzetzes in Lycoph. 688.

862. ἀΰτμῃ θεσπεσίᾳ καὶ ἐκαίετο Emm. ἀΰτμῃ Bar. edd. vett.

864. ἠδὲ Bar. Ald. Junt. ὅ τε κρ. Trinc.

866. δίῃ ῥ' ὑφ' Emm.

867. Hunc quoque versum inter glossulas refert Ruhnkenius, in quo judicio non omnes habebit adstipulantes. Wolfius. Ruhnkenii sententiam probavit Heynius.

868. ἀκάχοντ' conj. Jortinus.

869. Schol. Sophocl. Antig. 418.

870. ἀργέσταο ζεφύρου τε Trinc.

871. θέοσφιν γενεῇ Emm. [γενεῇ Bekker. in censura Homeri Wolfiani p. 142. Ed. Lips.]

872. μαψαῦραι. Exemplaria vetusta, cum Hesychio v. μαψαῦραι· οἱ μάταιοι ἄνεμοι, ἢ κοῦφαι πνοαί. Stephanus, ut videtur, primus aliam excogitavit lectionem μὰψ αὖραι, quam edidit Commelinus, probaverunt Wolfius et Heynius. Et sic sane Bar. Vs. deest Emm.

873. αἱ δ' ἦτοι Hermannus ad Homeri H. Cer. p. 105.

874. θύουσι θυέλλῃ Emm.

875. Ita pro ἄηαι Graevius ex Etymolog. M. p. 22, 12. Schol. Townl. ad Hom. Il. E. 526. διασκιδνᾶσιν ἀέντες· ὡς τιθέντες· ἀπὸ γὰρ τοῦ ἄημι· τὸ δὲ παρ' ἡσιόδῳ ἄλλοτε δὲ ἄλλοι ἀείσιν, αἰολικόν· — [Conf. Heyn. Homer. vol. V. p. 712. Ed. Lips.]

Ibid. διακιδνᾶσι Emm.

877. κείνῃσι συναντῶνται Emm. πείνῃσι Wolfius e conj. pro κείνοισι. συναντῶντες Barocc. συναντῶσι Ald. Junt. Mox αὖτε Ald. Junt.

879. ἔργον ἐρατόν Emm.

880. πιμπλήσαι Junt.

881. πόνων Emm.

882. Τιτῆνες δὲ ἀθρίμμασιν Emm.

δή ῥα τότ' ἄτρυνεν βασιλευέμεν ἠδὲ ἀνάσσειν,
Γαίης φρασσαμένης, Ὀλύμπιον εὐρύοπα Ζῆν'
ἀθανάτων· ὁ δὲ τοῖσιν ἐὺ διεδάσσατο τιμάς.
Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο Μῆτιν,
πλεῖστα θεῶν εἰδυῖαν, ἰδὲ θνητῶν ἀνθρώπων.
ἀλλ' ὅτε δή ῥ' ἤμελλε θεὰν γλαυκῶπιν Ἀθήνην
τέξεσθαι, τότ' ἔπειτα, δόλῳ φρένας ἐξαπατήσας
αἰμυλίοισι λόγοισιν, ἑὴν ἐσκάτθετο νηδύν,
Γαίης φρασσαμένης, καὶ Οὐρανοῦ ἀστερόεντος.
τὼς γάρ οἱ φρασάτην, ἵνα μὴ βασιληΐδα τιμὴν
ἄλλος ἔχῃ, Διὸς ἀντί, θεῶν αἰειγενετάων.
ἐκ γὰρ τῆς εἵμαρτο περίφρονα τέκνα γενέσθαι.
πρώτην γὰρ κούρην γλαυκώπιδα Τριτογένειαν
ἶσον ἔχουσαν πατρὶ μένος καὶ ἐπίφρονα βουλήν·
αὐτὰρ ἔπειτ' ἄρα παῖδα θεῶν βασιλῆα καὶ ἀνδρῶν
ἤμελλεν τέξεσθαι, ὑπέρβιον ἦτορ ἔχοντα·
ἀλλ' ἄρα μιν Ζεὺς πρόσθεν ἑὴν ἐσκάτθετο νηδύν,
[ὥς δή οἱ φράσσαιτο θεὰ ἀγαθόν τε κακόν τε.]
Δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας,
Εὐνομίην τε, Δίκην τε, καὶ Εἰρήνην τεθαλυῖαν,
αἵ τ' ἔργ' ὠρεύουσι καταθνητοῖσι βροτοῖσι.

Ibid. *τιμάων ὕστερα* spe praemiorum, quae Jupiter diis pollicitus erat ante pugnas. v. 892. sq. Et de hac vocis *τιμὴ* potestate, quae supra etiam adfuit, vid. Hemsterhus. ad Lucian. T. I. p. 285. *Τιτῆνεσσι κρίναντο* i. e. *ἐπολέμησαν Τιτῆσι*. Wolfius.

884. *Ὀλύμπιαν αἰεὶ ζῆνα* Emm. Trinc. Mox 887. *ἐ. καὶ θν.* Ald. Junt. Bar.

[886. Hic Orphea Hesiodus corrumpit: *Μῆτις* enim Orphicorum deus erat. Gale ad Apollodor. p. 4. l. 2. Reiz.]

888. Reponendum suadet Wolfius e Galeno de Hippocr. et Plat. dogm. l. 3. p. 273. ed. Bas. *ὅτε δ' ἤ ῥα ἤμελλε*.

890. *τέξασθαι* Ald. Junt. Bar. *τεύξασθαι* Trinc. et 898. Mox *ἐσκάτθετο* edd. vett. *ἐς κάτθετο* Bar. *ἐγκάθετο θυμὸν γρ. νηδύν* Emm. *ἐγκάθετο* Galen.

892. *φρασάτην* Emm. Bar. Ald. Junt. Probant Heynius et Hermannus Orphic. p. 780. al. *ἐφρασσάτην*.

895. *ἔχοι* Emm.

895. *μὲν* pro *γὰρ* Emm. *μὲν γὰρ* Bar. Ald. Junt. *μὲν* probat Heyne.

899. *ἐγκάθετο* Ald. Junt.

900. Uncinis sepsit Wolfius ex monitu Heynii quem vide ad Apollodor. I. 5, 6. In Galeno legitur *ὡς δ' οἱ συμφράσσαιτο*, et versus ponitur post 890. *αἰμυλίοισι λ.* conf. Observ. Misc. II. p. 319.

Ibid. *δή φράσσατο* Emm.

[901. 902. Schol. Pindar. Olymp. 13, 6. *λιπαρὰν — Δίκην καὶ Εἰρ.* Reiz.]

905. *ὠρεύουσι*. Sic Emm. *ὠραίουσι* vett. edd.

Ibid. Mirum est Graevium, praesertim tam copiosum in hoc loco illustrando, non animadvertisse, linguae rationem non *αἰραίουσι*, sed *ὡραιόουσι*, postulare. Cum igitur vulgata lectio in manifesto mendo cubet, jam meliori

[*Μοίρας θ', ἃς πλείστην τιμὴν κόρε μητίετα Ζεύς,*
Κλωθώ τε, Λάχεσίν τε, καὶ Ἄτροπον· αἵ τε διδοῦσι 905
θνητοῖς ἀνθρώποισιν ἔχειν ἀγαθόν τε κακόν τε.]

Τρεῖς δὲ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρῄους,
Ὠκεανοῦ κούρη πολυήρατον εἶδος ἔχουσα,
Ἀγλαΐην τε, καὶ Εὐφροσύνην, Θαλίην τ' ἐρατεινήν·
τῶν καὶ ἀπὸ βλεφάρων ἔρος εἵβετο δερκομενάων 910
λυσιμελής· καλὸν δέ θ' ὑπ' ὀφρύσι δερκιόωνται.

Αὐτὰρ ὁ Δήμητρος πολυφόρβης ἐς λέχος ἦλθεν,
ἣ τέκε Περσεφόνην λευκώλενον, ἣν Ἀΐδωνεὺς
ἥρπασεν ἧς παρὰ μητρός· ἔδωκε δὲ μητίετα Ζεύς.

locum cedat: *αἵ τ' ἔρι' ὠρεύουσι κ. β.* Hanc et J. Diaconum, et Scholiastem ob oculos habuisse, eorum interpretationes ostendunt. Stobaeus Serm. LI. p. 184. (corrige IX. p. 101 = 57.) hunc locum laudans, *ὠρέουσι* legit. (*ὠρείρουσι* dedit Grotius.) Cui si literam addideris, veram scripturam *ὠρεύουσι* habebis. Quam diserte confirmat Cornutus de N. D. c. 29. *Ζεὺς λέγεται γεννῆσαι τὰς Ὥρας ὑφ' ὧν τὰ ἀγαθὰ πάντα καθ' ἡμᾶς ὠρεύεται καὶ φυλάττεται.* Sed non omittendus est Pindarus Olymp. XIII. 6. qui Hesiodi imitatione Horas *πλούτου ταμίας* vocans, quid in eo legerit, satis clare significat: *Ἐν τᾷ γὰρ Εὐνομία νέμει, κασίγνηταί τε, Δίκα, πολίων Ἀσφαλὲς βάθρον, καὶ ὁμότροποι Εἰράνα, ταμίαι Ἀνδράσι πλούτου, χρύσεαι παῖδες εὐβούλου Θέμιτος.* Ad verbum *ὠρεύειν* pertinet alter quoque locus. Cornuti c. 1. *ἔνιοι δέ φασιν οὐρανὸν ἀπὸ τοῦ ὠρεῖν αὐτὸν ἢ ὠρεύειν τὰ ὄντα.* Hesychius, *Ὀρεύειν· φυλάσσειν*, solito errore *O* pro *Ω*. Idem: *Ἐνθρεῖν· φυλάσσειν.* Scribe *Ἐνωρεῖν.* RUHNKENIUS.

[904. Th. Gale ad Apollodor. p. 6. Fabric. CV. RZIZ.]

904 — 906. Uncinis inclusit Wolfius, ut ex 217. huc translatos.

907. V. Pausanias IX. 55. Heynium ad Hom. T. VII. p. 800.

909. *τε* addidi post *Ἀγλαΐην* Guietum et Wolfium secutus: et sic Schol. Pindari Ol. XIV. 21.

910. *εἵβεται* Etymolog. M. p. 295, 21. Zonaras p. 638. Ald. Junt. 1. Bar.

912 — 914. Etymolog. M. p. 41, 50. Sed deest locus in MS. Dorv.

913. V. Homerid. H. Cer. 2.

914. *μητίετα Ζεύς.* Interponam hic pauca a Reizio viro optimo ad me scripta de ratione accentus in voce *μητιέτα*: "Scribendum utique est *μητιέτα*, non *μητίετα*, ut alibi recte *νεφεληγερέτα*, non *νεφεληγέρετα*. Haud quidem negem, Aeoles in hac forma nonnumquam accentum retraxisse, ut, *ὁ Μύριλλα ἀντὶ τοῦ ὁ Μυρίλλης*: *ὁ Κάπαινα ἀντὶ τοῦ ὁ Καπαίνης.* Sed dubito, an id in omnibus nominibus fecerint; nec uni Aeoles hac forma usi sunt, sed etiam veteres Attici, qui accentum in ea non retraxerunt. Magnum auctorem habes Eustathium, qui ad Il. *Λ.* 175, p. 57, 4. *Ἔστι δὲ κατὰ τοὺς παλαιοὺς Βοιωτῶν καὶ Αἰολέων ὁ τοιοῦτος τύπος τοῦ σχηματισμοῦ· διὸ καί τινα ἐκ τῶν τοιούτων προπαροξύνονται· ὡς ἐνταῦθα τὸ, μητίετα Ζεύς. — καὶ ἐκ τοῦ ἀκακήτης τὸ ἀκάκητα. — προπαροξυντικοὶ γάρ εἰσιν οἱ Αἰολεῖς ἐν πολλοῖς, ὡς δηλοῖ καὶ τὸ δύνατος παρ' αὐτοῖς προπαροξυνόμενον.* Putavi et ego, non omnia hujus formae nomina solitos Aeoles fuisse

Μνημοσύνης δ' ἐξαῦτις ἐράσσατο καλλικόμοιο,
ἐξ ἧς αἱ Μοῦσαι χρυσάμπυκες ἐξεγένοντο
ἐννέα, τῇσιν ἅδον θαλίαι καὶ τέρψις ἀοιδῆς.
Λητὼ δ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἱμερόεντα γόνον περὶ πάντων Οὐρανιώνων,
γείνατ' ἄρ', αἰγιόχοιο Διὸς φιλότητι μιγεῖσα.
Λοισθοτάτην δ' Ἥρην θαλερὴν ποιήσατ' ἄκοιτιν,
ἡ δ' Ἥβην, καὶ Ἄρηα, καὶ Εἰλείθυιαν ἔτικτε,
μιχθεῖσ' ἐν φιλότητι θεῶν βασιλῆϊ καὶ ἀνδρῶν.
Αὐτὸς δ' ἐκ κεφαλῆς γλαυκώπιδα Τριτογένειαν,
δεινὴν, ἐγρεκύδοιμον, ἀγέστρατον, ἀτρυτώνην,
πότνιαν, ᾗ κέλαδοί τε ἅδον, πόλεμοί τε, μάχαι τε.
Ἥρη δ' Ἥφαιστον κλυτὸν οὐ φιλότητι μιγεῖσα

προπαροξύνειν; sed idem tamen putavi, nomina omnia generis ejusdem apud Aeoles προπαροξύτονα fuisse aut non fuisse: κύρια μὲν, προπαροξύτονα· προσηγορικὰ δὲ, οὐ. Si μητίετα et ἀκάκητα dixerunt, cur dixerunt iidem νεφεληγερέτα, ἱππότα, ἱππηλάτα, εὐρυόπα, ἠπύτα, τοξότα? Sin haec sunt, ut suspicor, Attica potius, ut sane αἰχμητὰ Λυκάων (Il. E. 197.) Atticum est: nam Aeoles βαρυνταὶ fuerunt, nec ullum nomen acuerunt: num est credibile, Homerum in eadem forma, in qua sequutus est in plerisque nominibus Atticos, unum et alterum nomen accentu Aeolico usurpare maluisse?" Wolfius.

[916. χρυσάμπυγες. Schol. Aristoph. Nub, 1267. Reiz.]

920. Guietus, γείνατ' ἐν αἰγιόχοιο Δ. φ. μ.

Ibid. Γείνατ' ἄρ' ἐν φιλότητι Διὸς μεγάλοιο Emm.

922. καὶ ante Ἄρηα om. Ald. Junt. [Schol. Pindar. Nem. 7, 1. ἐνικῶς δὲ εἶπε (Πίνδαρος) Εἰλείθυια, ὡς καὶ Ἡσίοδος. Ὁ δὲ Ὅμηρος ἑκατέρως, utroque scilicet modo, et singulari (Il. π, 187. τ, 105. Od. τ, 188.) et plurali. (Il. λ, 270. Iunonis filiae. ν, 119. Reiz.]

924. Hom. Il. E. 880. ἐπεὶ αὐτὸς ἐγείνατο παῖδ' ἀΐδηλον. ubi Schol. Venet. τουτο δεδωκεν αφορμην Ησιοδῳ το αυτος αντι του μονος λαβειν, ὁπερ ὁ Ποιητης ουκ οιδεν, αλλα λεγει, ανιεις αυτην, επει και συ αϊδηλον αυτην εγεννησας, ητοι επιβλαβη. conf. ad Il. Θ. 31. Citat Galenus, αὐτὸς δ' ἐκ κεφαλῆς γλαυκώπιδα γείνατ' Ἀθήνην.

925. ἀγροκύδοιμον Ald. Junt.

927. MS. Regius, οὐ φιλότητι μιγεῖσα, ut viri docti verissime emendarunt. Ceterum nusquam interpolatorum manus licentius grassata est, quam in narratione de Metide, prima Jovis uxore. Vide enim, quid in suo Theogoniae exemplo legerit Chrysippus apud Galenum de Hippocr. et Platon. Dogm. III. p. 273. Ἐκ ταύτης ἔριδος ἡ μὲν τέτε φαίδιμον υἱὸν, Ἥφαιστον, τέχνῃσιν, ἄνευ Διὸς αἰγιόχοιο. Ἐκ πάντων παλάμῃσι κεκλημένος οὐρανιώνων. Αὐτὰρ ὅγ' Ὠκεανοῦ καὶ Τήθυος ἠϋκόμοιο Κούρην νόσφ' Ἥρας παρεδέξατο καλλιπαρήου, Ἐξαπατῶν Μῆτιν, καὶ περ πολὺ δινεύουσαν. Συμμάρψας δ' ὅγε χερσὶν, ἐὴν ἐγκάτθετο νηδὺν, Δείσας, μὴ τέξῃ κρατερώτερον ἄλλο κεραυνοῦ. Τοὔνεκά μιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων, Κάππιεν ἐξαπίνης· ἡ δ' αὐτίκα Παλλάδ' Ἀθήνην Κύσατο, τὴν μὲν ἔτικτε πατὴρ ἀνδρῶν τε θεῶν τε Πὰρ κορυφὴν, Τρίτωνος ἐπ' ὄχθῃσι

γείνατο, (καὶ ζαμένησε, καὶ ἤρισεν ᾧ πάλαιρείῃ)
ἐκ πάντων τέχνῃσι κεκασμένον Οὐρανιώνων.
Ἐκ δ' Ἀμφιτρίτης καὶ ἐρικτύπου Ἐννοσιγαίου,
Τρίτων εὐρυβίης γένετο μέγας· ὅς τε θαλάσσης
πυθμέν' ἔχων, παρὰ μητρὶ φίλῃ καὶ πατρὶ ἄνακτι
ναίει χρύσεα δῶ, δεινὸς θεός. αὐτὰρ Ἄρηϊ
ῥινοτόρῳ Κυθέρεια Φόβον καὶ Δεῖμον ἔτικτεν
δεινοὺς, οἵ τ' ἀνδρῶν πυκινὰς κλονέουσι φάλαγγας
ἐν πολέμῳ κρυόεντι, σὺν Ἄρηϊ πτολιπόρθῳ·
Ἁρμονίην θ', ἣν Κάδμος ὑπέρθυμος θέτ' ἄκοιτιν.
Ζηνὶ δ' ἄρ' Ἀτλαντὶς Μαίη τέκε κύδιμον Ἑρμῆν,
κήρυκ' ἀθανάτων, ἱερὸν λέχος εἰσαναβᾶσα.
Καδμείη δ' ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱόν,
μιχθεῖσ' ἐν φιλότητι, Διώνυσον πολυγηθέα,
ἀθάνατον θνητή· νῦν δ' ἀμφότεροι θεοὶ εἰσίν.
Ἀλκμήνη δ' ἄρ' ἔτικτε βίην Ἡρακληείην,
μιχθεῖσ' ἐν φιλότητι Διὸς νεφεληγερέταο.
Ἀγλαΐην δ' Ἥφαιστος ἀγακλυτὸς ἀμφιγυήεις,
ὁπλοτάτην Χαρίτων, θαλερὴν ποιήσατ' ἄκοιτιν.
χρυσοκόμης δὲ Διώνυσος ξανθὴν Ἀριάδνην,

ποταμοῖο. Μῆτις δ' αὖτε Ζηνὸς ὑπὸ σπλάγχοις λελαθυῖα Ἧστο, Ἀθηναίη μήτηρ τέκτηνα δικαίων, Πλεῖστα θεῶν εἰδυῖα, καταθνητῶν τ' ἀνθρώπων. Ἔνθα θεὰ παρέλεκτο Θέμις παλάμαις περὶ πάντων Ἀθανάτων ἐκέκαστο Ὀλύμπια δώματ' ἔχουσιν. Αἰγίδα ποιήσασα φοβέστρατον ἐντὸς Ἀθήνη, Σὺν τῇ ἐγείνατό μιν πολεμήϊα τεύχε' ἔχουσαν. Haec, tametsi adulterina, tamen ob vetustatem digna sunt, quae emendatius legantur. V. 3. corrige: Ἐκ πάντων παλάμῃσι κεκασμένον οὐρανιώνων, ut est apud Hesiodum. v. 929. ubi forte melius ex h. l. παλάμῃσι pro τέχνῃσι scribatur. Hesychius: Παλάμαι· αἱ χεῖρες, καὶ αἱ τέχναι. Sic manus pro artificio apud Latinos. V. 5. facilis est emendatio: Κούρῃ, νόσφ' Ἥρης, παρελέξατο καλλιπαρήῳ. Multo gravius laborat v. 6. Lege: Ἐξαπατῶν Μῆτιν, καίπερ πολυΐδριν ἐοῦσαν. Homerus Od. Ψ. 82. Μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετάων Δήνεα εἴρυσθαι, μάλα περ πολυΐδριν ἐοῦσαν. V. 9. est ex Homero Il. Δ. 166. vel ex Hesiodo Ἔργ. 18. V. 14. scribe, Ἀθηναίης μήτηρ. Hesiodus quidem, teste Scholiaste Minore ad Il. Θ. 31. nusquam Minervae matrem commemoravit. At interpolator finxit alia omnia. V. 15. sumtus est ex Hesiodo v. 887. V. 16. leg. ἐκέκαστ', οἳ Ὀλύμπ. δ. ἔ. V. 18. scribe Ἀθήνῃ in dativo. Sensus est: Metis aegidem Minervae in Jovis corpore fecit. Reliqua quomodo corrigam, nescio. Ruhnkenius. οὐ Cuperus e Schol. Apollon. Rhod. I. 859. et sic Moschopulus ad Ἔργ. 60. in ed. Trinc. Huc respicit Schol. Ven. Il. Ξ. 358.

929. κεκαυμένων Emm.

[935. ναῖς χ. δ. Trypho in Museo crit. Cantabrig. I. p. 39. Ed. Lips.]

934. V. Etymolog. M. p. 704, 32.

938 — 941. Citat Clemens Alex. Strom. I. p. 382.

κούρην Μίνωος, θαλερὴν ποιήσατ' ἄκοιτιν.
τὴν δέ οἱ ἀθάνατος καὶ ἀγήρω θῆκε Κρονίων.
Ἥβην δ' Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
ἷς Ἡρακλῆος, τελέσας στονόεντας ἀέθλους,
παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου,
αἰδοίην θέτ' ἄκοιτιν, ἐν Οὐλύμπῳ νιφόεντι·
ὄλβιος, ὃς μέγα ἔργον ἐν ἀθανάτοισιν ἀνύσσας
ναίει ἀπήμαντος καὶ ἀγήραος ἤματα πάντα.

Ἠελίῳ δ' ἀκάμαντι τέκε κλυτὸς Ὠκεανίνη
Περσηΐς Κίρκην τε, καὶ Αἰήτην βασιλῆα.
Αἰήτης δ' υἱὸς φαεσιμβρότου Ἠελίοιο,
κούρην Ὠκεανοῖο τελήεντος ποταμοῖο
γῆμε, θεῶν βουλῇσιν, Ἰδυῖαν καλλιπάρῃον.
ἡ δέ νυ οἱ Μήδειαν ἐϋσφυρον ἐν φιλότητι
γείνατ' ὑποδμηθεῖσα διὰ χρυσῆν Ἀφροδίτην.

Ὑμεῖς μὲν νῦν χαίρετ' Ὀλύμπια δώματ' ἔχοντες,
νῆσοί τ', ἤπειροί τε, καὶ ἁλμυρὸς ἔνδοθι πόντος.
νῦν δὲ θεάων φῦλον ἀείσατε ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,
ὅσσαι δὴ θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται, γείναντο θεοῖς ἐπιείκελα τέκνα.

Δημήτηρ μὲν Πλοῦτον ἐγείνατο, δῖα θεάων,

949. *Κρονίδης* Trinc.

954. Heynius jungit *ναίει ἐν ἀθανάτοισι*. Trinc. *ἀθανάτοισιν τελέσας*.

956. *Κλυτὴ*. MS. Reg. (ed. Trinc. κλητὸς.) *κλυτὸς Ὠκεανίνη*. Recte. Cui Grammaticorum non dicta est *κλυτὸς Ἱπποδάμεια* apud Homer. Il. B. 742. Rarius est *δαΐζομένου πόληος*, quod ex Hesiodo affert Philemon, Gramma ejus inéditus in Bibl. Paris. *καὶ τοῖς θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συντάττουσιν ἐπίθετα, ὡς παρ' Ὁμήρῳ, κλυτὸς Ἱπποδάμεια, καὶ, θερμὸς ἄϋτμῃ, καὶ ἀγὸς πολίοιο, καὶ παρ' Ἡσιόδῳ, δαΐζομένου πόληος*. Ruhnkenius. Philemonis locum exscripsit Phavorinus p. 781, 20. De hoc schemate omnino consulendus Budaeus Comment. L. G. p. 1065—1068.

958. *Αἰήτης δ' αὖ* Emm. V. Schol. Apoll. Rhod. III. 242.

961. *νυ* additur ex ed. Trinc.

963. 964. Suspectos habet Wolfius.

964. *ἁλμυροὶ* Ald. Junt.

965. Ab h. v. novi carminis initium fieri putandum. Sequebatur nunc *ἡρωογονία*, quae complectebatur primum *natos e deabus*, quae cum mortalibus congressae erant, ad v. 1019. Tum *prognatos e mulieribus mortalibus*, quae cum diis erant congressae. Haec altera pars interiit, nisi pars ejus superest, *Clipeus Herculis*. Heynius.

968. *γείνοντό* Ald. Junt.

969. V. Hom. Od. E. 125. Etymolog. M. p. 677, 16. Ruhnken. H. H. Cer. 494.

Ἰασίῳ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι,
νειῷ ἐνὶ τριπόλῳ, Κρήτης ἐν πίονι δήμῳ,
ἐσθλόν· ὃς εἶσ' ἐπὶ γῆν τε, καὶ εὐρέα νῶτα θαλάσσης,
πᾶσαν· τῷ δὲ τυχόντι, καὶ οὔ κ' ἐς χεῖρας ἵκηται,
τόνδ' ἀφνειὸν ἔθηκε, πολύν τέ οἱ ὤπασεν ὄλβον.
Κάδμῳ δ' Ἁρμονίη θυγάτηρ χρυσῆς Ἀφροδίτης,
Ἰνὼ, καὶ Σεμέλην, καὶ Ἀγαυὴν καλλιπάρῃον,
Αὐτονόην θ', ἣν γῆμεν Ἀρισταῖος βαθυκαίτης,
γείνατο, καὶ Πολύδωρον ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.
[Κούρῃ δ' Ὠκεανοῦ Χρυσάορι καρτεροθύμῳ
μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης,
Καλλιρόη τέκε παῖδα βροτῶν κάρτιστον ἁπάντων,
Γηρυονῆα, τὸν κτεῖνε βίη Ἡρακληείη,
βοῶν ἕνεκ' εἰλιπόδων ἀμφιῤῥύτῳ εἰν Ἐρυθείῃ.]
Τιθωνῷ δ' Ἠὼς τέκε Μέμνονα χαλκοκορυστήν,
Αἰθιόπων βασιλῆα, καὶ Ἡμαθίωνα ἄνακτα.
αὐτάρ τοι Κεφάλῳ φιτύσατο φαίδιμον υἱόν,
ἴφθιμον Φαέθοντα, θεοῖς ἐπιείκελον ἄνδρα.

972. τε om. Ald. Junt.
974. ὤπασε λαὸς R, S.
979. MSS. et edd. vett. Ὠκεαχοῖο. Locum interpolatum plures monuerunt.
980. πολυχρύσῳ Ἀφροδίτῃ. Ald. Junt. Emm. Bar.
981. Κάλλιστον edd. vett. Barocc.
982. Γηρυονῆ Emm. Γηρυονέα Trinc.
985. Etymologus M. p. 428, 49.
986. φιτύσατο. Ita Wolfius ex Etymol. M. 795, 28. pro vulg. φυτήσατο. φιτύσατο Emm. [φιτύσατο Schr. et Observ. Miscellan. V. s. p. 196. sqq. Reiz.]
987. Pausanias Attic. p. 8. Κέφαλον κάλλιστον γενόμενόν φασιν ὑπὸ Ἡμέρας ἐρασθείσης ἁρπασθῆναι, καὶ οἱ παῖδα γενέσθαι Φαέθοντα· καὶ φύλακα ἐποίησε τοῦ ναοῦ. Ταῦτα ἄλλοι τε καὶ Ἡσίοδος εἴρηκεν ἐν ἔπεσι τοῖς εἰς τὰς γυναῖκας. Locum debeo doctrinae Heynii in Not. ad Apollodor. p. 822. in quo memorabile est, quod ea, quae de Phaethonte hic legimus, a Pausania ad aliud Hesiodi poema, Κατάλογον γυναικῶν, diserte referuntur. Nam illud et alibi sic designare solet ᾠδόμενα εἰς τὰς γυναῖκας. Hinc nescio an firmari possit suspicio mea, qua hanc extremam partem carminis conflatam puto ex aliis poetae carminibus, nominatim ex illo catalogo, recisis forte multis, quae uberius ibi tractata erant. Verum non omnino cum nostro loco convenit ille Pausaniae, ut in quo Phaethontem Aurora, sc. Hemera, non Venus, templi sui custodem constituit. Sed corrigendum forte sic: Φαέθοντα· ὃν καὶ ἡ Ἀφροδίτη φύλακα ἐποίησε τοῦ ναοῦ. Wolfius. [Ἴφθιμον Φαέθοντα. Alius fuit Solis et Clymenes filius, cujus fatum descripsit Ovidius Metamorph. lib. II. [et Hyginus fab. 154. qui eum Phaethontem Hesiodi vocat. Ut eam fabulam poeta in opere aliquo deperdito narrasse videatur. Reiz.] *Clericus.*]

τόν ῥα νέον τέρεν ἄνθος ἔχοντ' ἐρικυδέος ἥβης
παῖδ' ἀταλὰ φρονέοντα φιλομμειδὴς Ἀφροδίτη
ὦρτ' ἀνερειψαμένη, καί μιν ζαθέοις ἐνὶ νηοῖς,
νηοπόλον νύχιον ποιήσατο, δαίμονα δῖον.

Κούρην δ' Αἰήταο διοτρεφέος βασιλῆος
Αἰσονίδης, βουλῇσι θεῶν αἰειγενετάων,
ἦγε παρ' Αἰήτου, τελέσας συνόεντας ἀέθλους,
τοὺς πολλοὺς ἐπέτελλε μέγας βασιλεὺς ὑπερήνωρ,
ὑβριστὴς Πελίης, καὶ ἀτάσθαλος, ὀβριμοεργός,
τοὺς τελέσας ἐς Ἰωλκὸν ἀφίκετο, πολλὰ μογήσας,
ὠκείης ἐπὶ νηὸς ἄγων ἐλικώπιδα κούρην,
Αἰσονίδης, καί μιν θαλερὴν ποιήσατ' ἄκοιτιν.
καί ῥ' ἦγε δμηθεῖσ' ὑπ' Ἰήσονι ποιμένι λαῶν,
Μήδειον τέκε παῖδα, τὸν οὔρεσιν ἔτρεφε Χείρων
Φιλλυρίδης· μεγάλου δὲ Διὸς νόος ἐξετελεῖτο.

Αὐτὰρ Νηρῆος κοῦραι ἁλίοιο γέροντος,
ἤτοι μὲν Φῶκον Ψαμάθη τέκε δῖα θεάων,
Αἰακοῦ ἐν φιλότητι, διὰ χρυσῆν Ἀφροδίτην.
Πηλεῖ δὲ δμηθεῖσα θεὰ Θέτις ἀργυρόπεζα
γείνατ' Ἀχιλλῆα ῥηξήνορα, θυμολέοντα.

Αἰνείαν δ' ἄρ' ἔτικτεν ἐϋστέφανος Κυθέρεια,
Ἀγχίσῃ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι,
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ὑληέσσης.
Κίρκη δ' Ἠελίου θυγάτηρ Ὑπεριονίδαο,
γείνατ', Ὀδυσσῆος ταλασίφρονος ἐν φιλότητι,
Ἄγριον, ἠδὲ Λατῖνον ἀμύμονά τε, κρατερόν τε,

989. ἀταλὰ. Sic Homer. Π. Σ. 567. et H. Cer. 24. non ἀπαλὰ, ut libri Hesiodei habent, quod dubito an alibi ita occurrat. Hinc conjecturam Guieti praefero, quam confirmabat MS. Paris. a Ruhnken. inspectus. Wolfius. ἀταλὰ Emm. Trinc.

990. ἀναρειψαμένη, Emm. ἀναῤῥειψαμένη Ald. Junt. Bar.

991. Μύχιον Archilochus (l. Aristarchus. v. Ruhnken. praef. Hesych. p. vii.) apud Schol. probante Wolfio. vide Ἔργα 521.

993. Stephanus Byzant. v. Αἶσων.

997. ἐς om. Junt.

[1000. 1014. Vid. Buttmann. in Commentat. academ. Berol. a. 1819. p. 232. sqq. Ed. Lips.]

1003. Νηρηΐδες κοῦραι Ald. Junt. Bar.

1011. Schol. Apollon. Rhod. III. 311. Etymolog. M. p. 779.

1013. Ἄγριον. Vide Schol. Apollon. Rhod. III. 200. Eustath. Od. Π. p. 1796 = 597. Qui locus infra in fragmentis dabitur. [Plinius 25, 2. s. 5. Quid non replevere fabulis Colchis Medea, aliaeque, inprimis Itala Circe, Diis etiam adscripta? unde arbi-

(Τηλέγονόν τε ἔτικτε διὰ χρυσῆν Ἀφροδίτην)
οἳ δή τοι μάλα τῆλε μυχῷ νήσων ἱεράων,
ἐθέσιν Τυρσηνοῖσιν ἀγακλειτοῖσι ἄνασσον.
Ναυσίθοον δ' Ὀδυσῆϊ Καλυψὼ δῖα θεάων
γείνατο, Ναυσίνοόν τε, μιγεῖσ' ἐρατῇ φιλότητι.
Αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι,
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
Οὖν δὲ γυναικῶν φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.

tror natum, ut Aeschylus e vetustissimis in Poetica, refertam Italiam herbarum potentia proderet; multique Circeios, ubi habitavit illa: magno argumento etiamnum durante in Marsis, a filio eius orta gente, quos esse domitores serpentium constat. Ratz.]

Ib. Post hunc v. alius additur in MS. Paris. sed tam turpiter claudicans, ut, spurium esse, satis appareat: *Τηλέγονον δ' ἔτεκε διὰ χρυσῆν Ἀφροδίτην.* Ruhnkenius. *τε ἔτικτε* MS. apud Dorvillium Obs. Misc. T. II. p. 320. Charit. p. 435=465. et Emm. Mirum est profecto neminem adhuc monuisse in ed. Trinc. exstare *Τηλέγονον δ' ἔκτιτε* (sic) *δ. χ. Α.* Vs. 1013. 1016. suspectos habet V. D. in Obs. Misc. l. l.

1014. *μυχῷ* Guietus et Dawesius p. 51. quod alii viri docti probarunt et sic sane MS. apud Dorvillium in Charit. p. 435 = 465. MS. Paris. apud Ruhnken. *τῆλε μυχῶν εἴσω ἱεράων.* [V. Niebuhr. Röm. Gesch. I. p. 64. Ed. Lips.]

1015. *ἀγακλειτοῖσι* pro *ἀγακλυτοῖσι* Wolfius.

1020. Si duo extremi versus genuini sunt, pergebat poëta enumerare heroinas, *γυναικῶν φῦλον*, ut sup. 965. *φῦλον θεάων mulieres mortales*, ab heroibus conjugio habitas, e quibus heroes prognati. Ex iis debuit esse Alcmena Amphitruoni nupta, e quo Iphiclum, ex Jove autem Herculem peperit. Ita poema, quod a Grammaticis inscriptum est Clipeus Herculis, Theogoniae esset attexendum, interceptis temporis injuria iis, quae in medio erant. Sed versibus istis novissimis parum auctoritatis esse arbitror. Wolfius. Duo extremi versus desunt R. S. Tabulae Genealogicae, quae sequuntur, ab Heynii manu sunt.

TABULAE GENEALOGICAE

HOC EST

STIRPS DEORUM ET HEROUM

SECUNDUM HESIODUM.

ab initio fuere Chaos, Terra, Tartarus, Eros, v. 116.

TAB. I.

Chaos

Erebus cum *Nocte*	Nox sine conjuge 211—225.
Aether. Dies 123—5.	1) *Μοιρος, Κηρ, Θανατος, Υπνος, Ονειροι* 211. 758. 2) *Μωμος, Οιζυς.* 3) Hesperides. 4) *Μοιραι, Κηρες.* (Poenae) 5) *Νεμεσις, Γηρας, Εριs.* 226—231.

Πονος, Λησθη, Λιμος, Αλγεα, Τσμιναι, Φονοι, Μαχαι, Ανδροκτασιαι, Νεικεα, Ψευδεις λογοι, Αμφιλογιαι, Δυσνομια, Ατη, Ορκος.

TAB. II.

Terra — *Uranus.*

Coelum. Montes. Pelagus. (Pontus.)
a. *Ουρανος.* 126—132.

Uranus. 132—155.

1. Oceanus. v. Tab. IV. Thia. Rhea. Tab. V. Tab. VI.
Coeus. Tab. V. Themis.
Crius. Tab. V. Mnemosyne e Jove Musae Tab. VI.
Hyperion. Tab. V. Phoebe Tab. V.
Iapetus. Tab. VII. Tethys.

Cronos. Tab. VI.

2. Cyclopes.
3. Centimani: Cottus. Briareus. Gyges. 147. 617. sq. Omnes dicti *Titanes* 207—210. 630. sq.

* * *

Ex Urani sanguine a Terra excepto 185—206.

Erinnyes. Gigantes. Nymphae Meliae. Venus — *Mars.*

* * *

Terra — *Tartarus.*
Typhoeus 821. sq.
ex quo
Venti procellosi. 869. sq.

Φοβος. *Δειμος.* Harmonia ex *Cadmo.*
935—7.
— *Anchises.*
Aeneas 1008—10.

Ino. Semele. Agave.
Autonoe *Aristaeo* nupta.
Polydorus 976—8.

TAB. III.


Pontus v. Tab. II.
Terra.
Doris
Nereus 233.
Tab. IV.
Nereides L.
240—264.
in his Amphitrite
Neptunus
930. Tab. VI.
Psamathe
Aeacus.
Phocus 1004. 5.
Thetis
Peleus.
Achilles 1006. 7.
Electra
Thaumas.
Phorcys.
Ceto.
Eurybia.
Tab. IV.
Tab. V.
Iris.
265. 6.
780. 4.
Harpyiae
267-9.
Graeae.
270-5.
Gorgones tres 276.
in his
Medusa
ex Neptuno 278.
Draco Hesperidum
335-6.
Chrysaor
Callirrhoe.
281. 279-983.
Tab. IV.
Geryon.
287.
Echidna
295.
Typhaon.
306.
Echidna
Orthrus.
509.
Cerberus.
310.
Hydra.
313.
Chimaera.
319.
Sphinx. Leo Nemeaeus
526—532.

TAB. IV.

Oceanus — Tethys. Tab. II.

Fluvii 537—345. 567—570.

Nymphae Oceaninae 346—366.

In his

Doris ⌣ *Nereus* 241. 350. Tab. III.

Electra ⌣ *Thaumas* 265. 349. Tab. III.

Callirrhoe ⌣ *Chrysaor* 288. 351. Tab. III.

Styx ⌣ *Pallas* 361. 775. Tab. V.

Clymene ⌣ *Iapetus* 351. Tab. VII.

Eurynome ⌣ *Jupiter* 358. Tab. VI.

Perseis ⌣ *Sol.* 356. Tab. V.

TAB. V.

Alii *Titanes*.



TAB. VI.


Cronos minimus natu Titanum 157. Tab. II.
Rhea 453 sq. Tab. II.
Vesta
Ceres c. ex Jove Iasio 912.
Juno
Hades Proserpina 768. 912-4.
Neptunus v. mox.
Jupiter v. mox.
Vulcanus 927.
duxit Aglaiam 945.
Plutus 969-974.
Jupiter 1. Metis 886. Athene.
2. Themis. Horae 901. Moerae 904.
3. Eurynome Tab. IV. Charites 907-911. ex his Aglaia c. Vulcano 945. 6.
4. Ceres, Proserpina Aidoneus s. Hades 912-4.
5. Mnemosyne Tab. II. Musae 915-7.
6. Latona Tab. V. Apollo. Diana 918-920.
7. Juno. Hebe. Mars. Ilithyia 921-5. (c. Hercule 950-5.)
8. ex se sustulit Athenen s. Minervam 924. 886 sq.
9. Maia. Mercurius 938-9.
10. Semele. Dionysus 940-2. c. Ariadne 947.
11. Alcmena. Hercules 943. 4. c. Hebe 950.
Neptunus Amphitrite Nerei f. 243. Tab. III.
Triton 930-3.

TAB. VII.


Iapetus
Tab. II.
Clymene 507.
Atlas.
509.
Menoetius.
746.
Prometheus.
Epimetheus.
Maia
Jupiter.
938.
Mercurius.

ΗΣΙΟΔΟΥ

ΑΣΠΙΣ ΗΡΑΚΛΕΟΥΣ.



ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΑΣΠΙΔΟΣ.

ΤΑΦΙΟΙ στρατεύσαντες ἐπὶ τὰς Ἠλεκτρύωνος βοῦς ἀνεῖπον τοὺς τῆς Ἀλκμήνης ἀδελφοὺς, τῶν θρεμμάτων ὑπεραγωνιζομένους. τοῦ δὲ Ἀμφιτρύωνος βουλομένου αὐτῇ συνελθεῖν, οὐ πρότερον αὐτῷ ὑπέσχετο, πρινὴ παρὰ τῶν ἀδελφοκτόνων εἰσπράξηται a) τιμωρίαν· ὁ δὲ ἐπιστρατεύσας, ἀνεῖλεν αὐτούς. κατὰ δὲ τὴν αὐτὴν νύκτα συνέρχονται αὐτῇ ἀμφότεροι, ὅ τε Ζεὺς καὶ ὁ Ἀμφιτρύων, ὁ μὲν ἐκ τοῦ πολέμου ὑποστρέψας, Ζεὺς δὲ βουληθεὶς τοῖς ἀνθρώποις βοηθὸν γεννῆσαι. ἡ δὲ κύει ἐκ μὲν Ἀμφιτρύωνος Ἰφικλέα, ἐκ δὲ Διὸς Ἡρακλέα. ὃς καὶ ἐπὶ Κύκνον Ἄρεος υἱὸν, ἡνίοχον ἔχων Ἰόλαον, στρατεύεται, ὃς τοὺς τὰς δεκάδας ἄγοντας εἰς Πυθὼ, περιεσύλα. σκεπασθεὶς οὖν Ἡφαιστοτεύκτῳ ἀσπίδι, πρόσεισιν εἰς Τραχῖνα πρὸς Κήϋκα. συμβαλὼν b) δὲ τῷ Κύκνῳ, αὐτὸν μὲν ἀναιρεῖ, τὸν δὲ Ἄρην, ὑπερασπίζοντα τοῦ υἱοῦ, κατὰ μηρὸν τιτρώσκει, καὶ οὕτως ἔρχεται πρὸς Κήϋκα. ἦν δὲ ὁ Κύκνος γαμβρὸς Κήϋκος, ἐπὶ θυγατρὶ Θεμιστονόμῃ.

Ἄλλως. Οἱ Τάφιοι καὶ οἱ Τηλεβόαι εἰς ἔριν ἐλθόντες πρὸς τοὺς ἀδελφοὺς c) τῆς Ἀλκμήνης, ἐφόνευσαν αὐτούς. αὐτὴ δὲ τὸν ἑαυτῆς γάμον ἐκήρυττε γαμεῖσθαι τῷ δυναμένῳ διεκδικῆσαι τὸν θάνατον τῶν ἀδελφῶν αὐτῆς. περιερχομένη οὖν ἐπὶ τούτοις, ἦλθεν ἐν Θήβαις, ὅπου ἐδούλευεν ὁ Ἀμφιτρύων τότε, κἀκεῖνος ὑπέσχετο αὐτῇ, ὁ Ἀμφιτρύων ὁ τῆς Ἀλκμήνης σύνευνος, τὸν τῆς ἑαυτοῦ γυναικὸς πατέρα Ἠλεκτρύωνα ἀποκτείνας d).

a) εἰσπράξεται edit. Basil. HEINRICH.
b) προσβαλὼν eadem. HEINRICH.
c) Perperam edd. εἰσελθόντες ἐπὶ τοὺς ἀδελφούς. Dedi alterum rectius, monente *Lambecio* Comment. de Biblioth. Caesar. Vindob. To. VII. p. 500. ex codice, in quo *Io. Diaconi* in Scut. Herc. Scholia emendatiora ac pleniora, quam in editis, habentur. HEINRICH.
d) Facile vides, minorem hanc διάθεσιν et quidem maxime posteriorem ejus partem mancam esse, ut adeo, nisi omnino indocti homi-

Ad calcem carminis in edit. Aldina haec subjiciuntur:

Τῆς Ἀσπίδος ἡ ἀρχὴ ἐν τῷ δ' Καταλόγῳ φέρεται μέχρι στίχων ρ' καὶ ς' e). *ὑπόπτευκε δὲ Ἀριστοφάνης, οὐχ ὁ Κωμικὸς, ἀλλά τις ἕτερος Γραμματικὸς, ὡς οὐκ οὖσαν αὐτὴν Ἡσιόδου, ἀλλ' ἑτέρου τινὸς τὴν Ὁμηρικὴν ἀσπίδα μιμήσασθαι προαιρουμένου. Μεγακλῆς δὲ ὁ Ἀθηναῖος γνήσιον μὲν οἶδε τὸ ποίημα, ἄλλως δὲ ἐπιτιμᾷ τῷ Ἡσιόδῳ. ἄλογον γάρ φησι, ποιεῖν Ἥφαιστον τοῖς τῆς μητέρος ἐχθροῖς ὅπλα παρέχοντα. Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ γ' φησὶν αὐτοῦ εἶναι, ἔκ τε τοῦ χαρακτῆρος καὶ ἐκ τοῦ τὸν Ἰόλαον ἐν τῷ Καταλόγῳ εὐρίσκειν ἡνιοχοῦντα τῷ Ἡρακλεῖ. ὡσαύτως δὲ καὶ Στησίχορός φησιν Ἡσιόδου εἶναι τὸ ποίημα.*

[In primo folio haec scripsit Reizius: *Τὴν ἀσπίδα* Jos. Scaliger (Epist. 247.) putat esse praepostero judicio a criticis Ascraeo attributam. Refert ad aetatem Onomacriti, Solonis, Tyrtaei. — Scholiast. Aristoph. Ran. 994. *Δύο Κύκνοι ἐγένοντο· ὁ μὲν Ἄρεος υἱὸς, ὁ ὑφ' Ἡρακλέους φονευθεὶς, ὡς ἐν τῇ Ἀσπίδι Ἡσίοδος·* (v. 57.) *ὁ δὲ Ποσειδῶνος, ὁ ὑπ' Ἀχιλλέως, ὡς καὶ Πίνδαρος ἱστορεῖ.* (Ol. 2, 147. Sch. 27. a. A. et 112. a. C. Isthm. 5, 49. Sed et prioris meminit, qui Herculem praelio congressum fugaverat, Ol. 10, 19. Sch. 78. a. C. et 148. b. B.) — Scaligero assentiuntur Heinsius et in libro de poetis Vossius. — Eadem sententia fuit Aristophanis Grammatici, ut Schol. vetus ad finem Asp. notat. — Aelianus V. H. 12, 36. loquens, ut videtur, de opere *ἠοίων μεγάλων*, cujus pars putatur fuisse Aspis, dubitat annon falso ista carmina Hesiodo tribuantur. — Dubitat de Asp. Longinus. — Theodosius Alex. ad Dionys. Thracem alterius poetae ait esse. — Hesiodi esse agnoscunt Megacles Athen. et Apollonius Rhod. *ἐν τῷ γ'*, et Stesichorus, ut Schol. vetus ad finem Asp. notat. — Apollod. Bibl. 2, 4. §. 2. p. 84. ad quem locum Tan. Faber p. 274. „Sane miror fuisse olim atque adeo hodieque reperiri, qui ea de re dubitent. Certa enim res est: et qui putant Hesiodi non esse *τὴν ἀσπίδα*, nae illi poesin Graecam haud satis norunt.“ — Hactenus Reizius. Add. Heyn. Homer. vol. VI. p. 495. Theodos. *περὶ γραμματικῆς* p. 54. ed. Göttling. Ed. Lips.]

nis lacinia sit, mirarer, si non is, quem modo dixi, cod. Vindob. saniorem eam exhiberet. Heinaich.

e) Numerum refinxi, quum in Ald. esset *ν' καὶ ξ'*, suadente jam *Pesito* de Legg. Att. p. 462. (561. ed. Wessel.) justis de causis, suo loco explanatis. Heinaich.

ΗΣΙΟΔΟΥ

ΑΣΠΙΣ ΗΡΑΚΛΕΟΥΣ.

Ἡ οἵη προλιποῦσα δόμους καὶ πατρίδα γαῖαν
ἦλυθεν ἐς Θήβας, μετ' ἀρήϊον Ἀμφιτρύωνα,
Ἀλκμήνη, θυγάτηρ λαοσσόου Ἠλεκτρύωνος.
ἣ ῥα γυναικῶν φῦλον ἐκαίνυτο δηλυτεράων

1. Ἡ οἵη. Dubitari a multis solet, quid sibi velit hoc *desitûs* initium, quod et abruptum videtur, et obscurum, ideoque varie absurdeque a multis est expositum. Nos igitur ex G. Cantero (Nov. Lectt. IV. 5.) declarationem ejus evidentem adferemus (cujus ille I. Auratûm [V. Jos. Scaliger ad Catalect. p. 250.] sibi auctorem esse profitetur) qua omnis omnino difficultas tolli videtur. Est autem res paulo altius repetenda. Hesiodus inter caetera quae Pausanias in Boeoticis enumerat, scripsit etiam *μεγάλας ἠοίας*, ut vocat idem Pausanias, et praeterea Athenaeus, et Apollonii, Pindari, Sophoclis interpres: in quibus praeclarissimas quasque mulieres et heroïnas perpetuo carmine celebravit, ut vel singulas pro exemplo nobis proponeret, vel unam aliquam praeclarissimam cum reliquis compararet. Hinc enim dictae sunt *ἠοῖαι*, [Vid. Bentleïum ad Horat. Serm. I. 3, 7.] quod singulae similitudines ab his vocibus, ἢ οἵη, inciperent: sicut et in Homeri Boeotia factum cernimus, et apud Hebraeos in Pentateucho. Quocirca etiam contigit, ut *ἠοίην* posteriores Poëtae, et inter alios Hermesianax Colophonius [Vide Ruhnken. Ep. Crit. p. 289.] Hesiodi fuisse amicam putarint, quam hoc modo celebraverit: ut et Homerus Penelopen, et alii alias. Earum igitur *ἠοιῶν* fragmentum est, quod hodie exstat, Scutum Herculis, quae una comparatio earum, quibus totum opus constabat quamplurimis, continetur: itaque et ab ἢ οἵη, sicut etiam reliquae, incipit. Et quamvis hoc opusculum magni sit operis fragmentum, proprio tamen insignitur nomine (ut antea diximus) et *scutum Herculis* vocatur, quod ejus praecipua sit in hac comparatione descriptio, sicut apud nos Somnium Scipionis dicitur. Haec igitur de ipsis vocabulis initii. Orditur autem Poëta a commendatione Alcmenae, quae Amphitryonem patris interfectorem Thebas secuta est. Commelinus. Heynius in Indice Scriptorum ab Apollodoro laudatorum: "Continuata videtur fuisse Theogonia per plures partes, quae heroes natos e congressu deorum

εἶδεΐ τε μεγέθει τε· νόον γε μὲν οὔτις ἔριζε
τάων, ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι.
τῆς καὶ ἀπὸ κρῆθεν, βλεφάρων τ' ἀπὸ κυανεάων
τοῖον ἄηθ', οἷόν τε πολυχρύσου Ἀφροδίτης.
ἣ δὲ καὶ ὣς κατὰ θυμὸν ἑὸν τίεσκεν ἀκοίτην,
ὡς οὔπω τις ἔτισε γυναικῶν θηλυτεράων.
ἦ μήν οἱ πατέρ' ἐσθλὸν ἀπέκτανεν, ἶφι δαμάσσας,
χωσάμενος περὶ βουσί· λιπὼν δ' ὅγε πατρίδα γαῖαν
ἐς Θήβας ἱκέτευσε φερεσσακέας Καδμείους.
ἔνθ' ὅγε δώματ' ἔναιε σὺν αἰδοίῃ παράκοιτι,
νόσφιν ἄτερ φιλότητος ἐφιμέρου· οὐ γάρ οἱ ἦεν
πρὶν λεχέων ἐπιβῆναι ἐϋσφύρου Ἠλεκτρυώνης,
πρίν γε φόνον τίσαιτο κασιγνήτων μεγαθύμων
ἧς ἀλόχου, μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας
ἀνδρῶν ἡρώων Ταφίων ἰδὲ Τηλεβοάων.
ὣς γάρ οἱ διέκειτο· θεοὶ δ' ἐπιμάρτυροι ἦσαν,
τῶν ὅγ' ὀπίζετο μῆνιν· ἐπείγετο δ' ὅττι τάχιστα,
ἐκτελέσαι μέγα ἔργον, ὅ οἱ Διόθεν θέμις ἦεν.
τῷ δ' ἅμα, ἱέμενοι πολέμοιό τε φυλόπιδός τε

cum feminis mortalibus enarrabant: inque his Herculem: qui quidem locus, ex parte saltem, superest sub nomine Clipei Herculis. Parata erat via jam in extremis Theogoniae, ubi expositi sunt amores dearum erga mortales; pergit: *Νῦν δὲ γυναικῶν φῦλον ἀείσατε.* Ita mihi quidem de his statuendum esse videtur. Aliis alia. V. Valesii Emendd. Addend. p. 222. Idem carmen vulgo appellatum *Ἠοῖαι μεγάλαι.* Potuit quoque appellari *γενεαλογίαι ἡρωϊκαί.*" Ceterum hoc Hesiodi carmen ad Homeri imitationem compositum esse haud obscure testatur Eustathius Il. Σ. p. 1154 = 1209, 37.

Ibid. *δόμον* Emm.

7. *ἀποκρῆθεν* junctim Etymol. M. p. 495, 31. Eustath. Il. X. p. 1257, 54 = 1354, 18.

Ibid. Eustath. Il. Ω. p. 1363 = 1501, 50. *περὶ δὲ τοῦ ΕΑΩΝ, δηλοῦται μὲν καὶ ἐν τῷ, θεοὶ δωτῆρες ἑάων, ἤγουν ἀγαθοδόται. Οὐ περιττὸν δὲ καὶ νῦν εἰπεῖν ὡς ἔοικε γένους οὐδετέρου ἡ λέξις εἶναι ὡς ἀπὸ τοῦ ἑὸν τὸ ἴδιον. Ἰδιοποιεῖται γάρ τις τὸ ἀγαθόν. Ἔχει δὲ πλεονασμὸν τοῦ α, οὐ συνήθη μὲν, ὅμοιον δὲ τῷ βλεφάρων ἀπὸ κυανεάων, ὅπερ ἐν τῇ τοῦ Ἡσιόδου ἀσπίδι κατ' ἀρχὰς κεῖται.*

8. Huc spectat, judice Ruhnkenio ad Homerid. H. Cer. 275. Etymologus M. p. 23, 15. *ἄητο* explicans *ἀπαυγάζει.*

9. *ὃς* Emm. *ἀκοίτιν* Trinc.

11. *οἱ* om. Ald. Junt. *ἀπέκτεινεν* Emm. *ἀπέκτειν'* Trinc. Historiam, Hesiodi testimonio utens, aliter narrat Scholiastes Apollonii Rhod. I, 747.

12. *ὅ τε* Ald. Junt. 1.

13. *φερεσσακέους* Trinc.

14. *παρακοίτι* Ald. Junt. 1. Trinc.

15. *οὐδέ οἱ ἦεν* Hermannus Orphic. p. 125. et 780.

18. *πυρὶ καταφλέξαι* Emm.

20. *ἐπὶ μάρτυροι* Trinc.

Βοιωτοὶ πλήξιπποι, ὑπὲρ σακέων πνείοντες,
Λοκροί τ' ἀγχέμαχοι, καὶ Φωκῆες μεγάθυμοι,
ἕσποντ'· ἦρχε δὲ τοῖσιν ἐῢς πάϊς Ἀλκαίοιο,
κυδιόων λαοῖσι· πατὴρ δ' ἀνδρῶν τε θεῶν τε
ἄλλην μῆτιν ὕφαινε μετὰ φρεσὶν, ὄφρα θεοῖσιν
ἀνδράσι τ' ἀλφηστῇσιν ἀρῆς ἀλκτῆρα φυτεύσῃ.
ὦρτο δ' ἀπ' Οὐλύμποιο δόλον φρεσὶ βυσσοδομεύων,
ἱμείρων φιλότητος ἐϋζώνοιο γυναικὸς,
ἐννύχιος· τάχα δ' ἵξε Τυφαόνιον, τόθεν αὖθις
Φίκιον ἀκρότατον προσεβήσατο μητίετα Ζεῦς.
ἔνθα καθεζόμενος, φρεσὶ μήδετο θέσκελα ἔργα.
αὐτῇ μὲν γὰρ νυκτὶ τανυσφύρου Ἠλεκτρυώνης
εὐνῇ καὶ φιλότητι μίγη, τέλεσεν δ' ἄρ' ἐέλδωρ·
αὐτῇ δ' Ἀμφιτρύων λαοσσόος, ἀγλαὸς ἥρως,
ἐκτελέσας μέγα ἔργον, ἀφίκετο ὅνδε δόμονδε.
οὐδ' ὅγ' ἐπὶ δμῶας καὶ ποιμένας ἀγροιώτας
ὦρτ' ἰέναι, πρίν γ' ἧς ἀλόχου ἐπιβήμεναι εὐνῆς·
τοῖος γὰρ κραδίην πόθος αἴνυτο ποιμένα λαῶν.
ὡς δ' ὅτ' ἀνὴρ ἀσπαστὸν ὑπεκπροφύγῃ κακότητα
νούσου ὑπ' ἀργαλέης, ἢ καὶ κρατεροῦ ὑπὸ δεσμοῦ·
ὥς ῥα τότ' Ἀμφιτρύων, χαλεπὸν πόνον ἐκτολυπεύσας,
ἀσπασίως τε φίλως τε ἑὸν δόμον εἰσαφίκανε.
παννύχιος δ' ἄρ' ἔλεκτο σὺν αἰδοίῃ παράκοιτι,
τερπόμενος δώροισι πολυχρύσου Ἀφροδίτης.
ἡ δὲ θεῷ δμηθεῖσα καὶ ἀνέρι πολλὸν ἀρίστῳ,

24. πληξίππου Emm.
25. ἐγχέμαχοι Trinc.
28. ὡς ῥα θεοῖσιν Harl.
[Ibid. Schol. Venet. Il. Σ. 100. Ἡσιοδος αρης αλκτηρα, βλαβης και κακωσεως εφη. Vide inf. 128.
Ibid. ἀνδράσιν ἀλφιστῇσιν Ald. Junt. 1. φυτεῦσαι Harl. Junt. 1. φυτεύσαι Ald.
[29. ἀρῆς. Ἄρεως. Theogon. 657. Reiz.]
32. Τυφαόνιον non sollicitandum, et recte Tzetzes Ὄρος τῆς Βοιωτίας, διὰ τὸ Τυφῶνι ἐπικεῖσθαι. Dorvillius in Obs. Misc. T. I, p. 350. [V. Müller, Geschichten Hellen. Stämme I. p. 62. Ed. Lips.]
Ibid. πόθεν αὖθις Emm. τότε δ' αὖτις Harl. τότε Ald. Junt. 1. αὖτις Trinc.
33. φείκιον Emm. φύκιον Harl.
35. τανυσφύρῳ Ἠλεκτρυώνῃ Harl.
36. εὐνῇ ἐν φιλότητι Trinc.
38. δόμοισιν Emm.
42. ὑπερπροφύγῃ Emm. ὑπεκπροφύγοι Ald. Junt. Sententiam ex Homero Od. E. 398. sqq. adumbratam notavit Clericus.
44. ἐκτολμήσας Ald. Junt.
45. φιλίως Ald. Junt.
47. Vide Ruhnken. praef. ad H. Cer. p. XIV.

Θήβῃ ἐν ἑπταπύλῳ διδυμάονε γείνατο παῖδε,
οὐκ ἔθ' ὁμὰ φρονέοντε· (κασιγνήτω γε μὲν ᾔστην)
τὸν μὲν χειρότερον, τὸν δ' αὖ μέγ' ἀμείνονα φῶτα,
δεινόν τε κρατερόν τε, βίην Ἡρακληείην·
τὸν μὲν ὑποδμηθεῖσα κελαινεφεῖ Κρονίωνι,
αὐτὰρ Ἰφικλῆά γε δορυσσόῳ Ἀμφιτρύωνι,
κεκριμένην γενεήν· τὸν μὲν, βροτῷ ἀνδρὶ μιγεῖσα,
τὸν δὲ, Διῒ Κρονίωνι, θεῶν σημάντορι πάντων·
ὃς καὶ Κύκνον ἔπεφνεν Ἀρητιάδην, μεγάθυμον.
εὗρε γὰρ ἐν τεμένει ἑκατηβόλου Ἀπόλλωνος
αὐτὸν, καὶ πατέρα ὃν, Ἄρην, ἄτον πολέμοιο,
τεύχεσι λαμπομένους, σέλας ὡς πυρὸς αἰθομένοιο,
ἑσταότ' ἐν δίφρῳ. χθόνα δ' ἔκτυπον ὠκέες ἵπποι,
νύσσοντες χηλῇσι· κόνις δέ σφ' ἀμφιδεδῄει,
κοπτομένη πλεκτοῖσιν ὑφ' ἅρμασι καὶ ποσὶν ἵππων.
ἅρματα δ' εὐποίητα καὶ ἄντυγες ἀμφαράβιζον,
ἵππων ἰεμένων. κεχάρητο δὲ Κύκνος ἀμύμων,
ἐλπόμενος Διὸς υἱὸν ἀρήϊον, ἡνίοχόν τε,
χαλκῷ δῃώσειν, καὶ ἀπὸ κλυτὰ τεύχεα δύσειν.
ἀλλά οἱ εὐχωλέων οὐκ ἔκλυε Φοῖβος Ἀπόλλων.
αὐτὸς γάρ οἱ ἐπῶρσε βίην Ἡρακληείην.
πᾶν δ' ἄλσος καὶ βωμὸς Ἀπόλλωνος Παγασαίου·
λάμπεν ὑπαὶ δεινοῖο θεοῦ τευχέων τε καὶ αὐτοῦ·
πῦρ δ' ὡς ὀφθαλμῶν ἀπελάμπετο. τίς κεν ἐκείνῳ
ἔτλη θνητὸς ἐὼν κατεναντίον ὁρμηθῆναι,
πλὴν Ἡρακλῆος καὶ κυδαλίμου Ἰολάου;

49. ἐφ' ἑπταπύλῳ Harl.
51. τὸν δὲ μέγ' Trinc.
54. MS. Emman. et alter MS. apud Hermannum Epist. ad Schaefer. Greg. Dial. p. 879. Ἰφικλῆα λασσσόῳ — Hermannus probat Ἰφικλῆ λαοσσόῳ.
57. Schol. Aristoph. Ran. 994. Δύο Κύκνοι ἐγένοντο· ὁ μὲν Ἄρεος υἱὸς, ὁ ὑφ' Ἡρακλέους φονευθεὶς, ὡς ἐν τῇ Ἀσπίδι Ἡσίοδος· ὁ δὲ Ποσειδῶνος, ὁ ὑπ' Ἀχιλλέως, ὡς καὶ Πίνδαρος ἱστορεῖ.
58. δὲ pro γὰρ Emm.
59. πατέρα sine elisione Trincavellus, quemadmodum malit Guietus.
[61. Virgil. Georg. 3, 88. Reiz.]
62. Suidas v. Ὁπλή.
67. δηϊώσειν — δώσειν Emm. δαϊώσειν Ald. Junt.
69. om Emm.
70. Etymolog. M. p. 646, 41. Παγασαῖος λέγεται ὁ Ἀπόλλων ἀπὸ Παγάσης. Ἔστι δὲ τόπος τῆς Θεσσαλίας καὶ πόλις, παρὰ τὸ ἐκεῖ τὴν Ἀργὼ πεπῆχθαι. Ἡσίοδος ἐν Ἀσπίδι. Versus deest MS. Dorvill. Vide Schol. Homeri Il. Ψ. 346.
72. ἐκείνων Harl.
74. πρίν γ' Harl. πλήν γ' Trinc.

κείνων γὰρ μεγάλη τε βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
ὅς ῥα τόθ' ἡνίοχον προσέφη κρατερὸν Ἰόλαον·
Ἥρως, ὦ Ἰόλαε, βροτῶν πολὺ φίλτατε πάντων,
ἤ τι μέγ' ἀθανάτους μάκαρας, τοὶ Ὄλυμπον ἔχουσιν,
ἤλιτεν Ἀμφιτρύων, ὅτ' ἐϋστέφανον ποτὶ Θήβην
ἦλθε, λιπὼν Τίρυνθος ἐϋκτίμενον πτολίεθρον,
κτείνας Ἠλεκτρύωνα, βοῶν ἕνεκ' εὐρυμετώπων·
ἵκετο δ' εἰς Κρείοντα, καὶ Ἡνιόχην τανύπεπλον,
οἵ ῥά μιν ἠσπάζοντο, καὶ ἄρμενα πάντα παρεῖχον,
ᾗ δίκη ἔσθ' ἱκέτῃσι· τίον δ' ἄρα κηρόθι μᾶλλον.
ζῶε δ' ἀγαλλόμενος σὺν ἐϋσφύρῳ Ἠλεκτρυώνῃ,
ᾗ ἀλόχῳ· τάχα δ' ἄμμες ἐπιπλομένων ἐνιαυτῶν
γεινόμεθ', οὔτε φυὴν ἐναλίγκιοι, οὔτε νόημα,
σός τε πατὴρ καὶ ἐγώ· τοῦ μὲν φρένας ἐξέλετο Ζεύς·
ὃς προλιπὼν σφέτερόν τε δόμον, σφετέρους τε τοκῆας,
ᾤχετο τιμήσων ἀλιτήμερον Εὐρυσθῆα,
σχέτλιος· ἦπου πολλὰ μετεστοναχίζετ' ὀπίσσω,
ἣν ἄτην ἀχέων· ἡ δ' οὐ παλινάγρετός ἐστιν.
αὐτὰρ ἐμοὶ δαίμων χαλεποὺς ἐπετέλλετ' ἀέθλους.

75. Vide Ἔργ. 147, 148. Theog. 152.

76. μελέεσσιν Emm.

79. Ita Dorvillius ad Charit. p. 36 = 220. Antea μετ'. μακρὰς Emm.

81. Τίρυνθος. Sic Ruhnkenius (post Wintertonum) optime e vestigiis MSS. Reg. Voss. in quibus Τίρυνθα. Quam pronum erat librariis α et ος confundere edocet Porsonus ad Eurip. Hec. 788. Edd. Τίρυνθον.

83. Schol. Sophocl. Antig. 1180. Εὐρυδίκην· Ἡσίοδος Ἡνιόχην αὐτὴν καλεῖ.

84. ἅρματα Emm.

85. ἱκέτῃ — τοῖον Emm.

Ibid. τίον δέ γε Harl. δ' ἄρ τηλόθι Ald. Junt. 1.

87. ἐπιπλομένῳ ἐνιαυτῷ Trinc.

88. οὔτε φρένας Ald. Junt. ἐναλίγκιον Ald.

Ibid. ἀλίγκιοι Emm.

90. δῶμα Ald. Junt. τε om. Junt. 2.

91. Vulgo ἀλιτήμενον. Ἀλιτήμερον conjecturam Guieti, Hesiodo vindicant Schneiderus Lexic. Graec. in v. et Hermannus Addend. ad Gregor. de Dialect. ed. Schaefer. p. 879. ex Etymologo M. p. 428, 10. Ἠλιτόμηνος καὶ ἀλιτήμερος σημαίνει δὲ τὸν ἑπταμηνιαῖον γεννηθέντα παῖδα. Conf. Schaeferum p. 358. Bentleius proposuerat Εὐρυσθῆ ἠλιτόμηνον. Literarum ρ et ν permutationem breviter attigi ad Hephaest. p. 52. Innumera istius confusionis exempla suppeditat codex Demosthenis Dorvillianus, recens ille quidem, sed ex egregio exemplari descriptus.

92. πολλὰ Trinc. cum MSS. Pal. apud Commelinum. Edd. vetustiores μάλα.

93. ὀχέων conjicit Graevius.

94. ἐπέτειλεν Trinc.

ὦ φίλος, ἀλλὰ σὺ θᾶσσον ἔχ' ἡνία φοινικόεντα
ἵππων ὠκυπόδων· μέγα δὲ φρεσὶ θάρσος ἀείξων,
ἰθὺς ἔχειν θοὸν ἅρμα, καὶ ὠκυπόδων σθένος ἵππων,
μηδὲν ὑποδδείσας κτύπον Ἄρεος ἀνδροφόνοιο,
ὃς νῦν κεκληγὼς περιμαίνεται ἱερὸν ἄλσος
Φοίβου Ἀπόλλωνος, ἑκατηβελέταο ἄνακτος
ἦ μὴν καὶ κράτερός περ ἐὼν ἄαται πολέμοιο.
Τὸν δ' αὖτε προσέειπεν ἀμώμητος Ἰόλαος·
ἠθεῖ', ἦ μάλα δή τι πατὴρ ἀνδρῶν τε θεῶν τε
τιμᾷ σὴν κεφαλὴν, καὶ ταύρεος Ἐννοσίγαιος,
ὃς Θήβης κρήδεμνον ἔχει, ῥύεταί τε πόλεα.
οἷον δὴ καὶ τόνδε βροτὸν κρατερόν τε μέγαν τε
σὰς ἐς χεῖρας ἄγουσιν, ἵνα κλέος ἐσθλὸν ἄρηαι.
ἀλλ' ἄγε, δύσσεο τεύχε' ἀρήϊα, ὄφρα τάχιστα
δίφρους ἐμπελάσαντες, Ἄρηός θ' ἡμέτερόν τε,
μαρνώμεσθ'· ἐπεὶ οὔτι ἀτάρβητον Διὸς υἱὸν
οὐδ' Ἰφικλείδην δειδίξεται· ἀλλά μιν οἴω
φεύξεσθαι δύο παῖδας ἀμύμονος Ἀλκείδαο,
οἳ δή σφι σχεδὸν εἶσι, λιλαιόμενοι πολέμοιο
φυλόπιδα στήσειν· τά σφιν πολὺ φίλτερα θοίνης.
Ὣς φάτο· μείδησεν δὲ βίη Ἡρακληείη,
θυμῷ γηθήσας, μάλα γάρ νύ οἱ ἄρμενα εἶπεν·
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα.
Ἥρως ὦ Ἰόλαε, διοτρεφὲς, οὐκέτι τηλοῦ
ὑσμίνη τρηχεῖα· σὺ δ', ὡς πάρος ἦσθα δαΐφρων,
ὣς καὶ νῦν μέγαν ἵππον Ἀρείονα κυανοχαίτην
πάντη ἀναστρωφᾷν, καὶ ἀρηγέμεν, ὥς κε δύνηαι.
Ὣς εἰπὼν, κνημῖδας ὀρειχάλκοιο φαεινοῦ,
Ἡφαίστου κλυτὰ δῶρα, περὶ κνήμῃσιν ἔθηκε·

97. ἔχων Harl.
98. ὑποδδεῖε Harl.
103. ὦ θεῖ' Trinc. ὦθ' εἴ, ἤ Junt. 2. ἠθεῖ' ἤ Junt. 1. Steph. Commelin. ἤ θεῖ' ἤ Ald. ἦ θεῖ' ἤ Pal. ἠθεῖε ἦ δὴ Harl.
105. Homer. H. Cer. 151.
107. ἄρουσιν Trinc.
108. ἄλλ' ἄγε, δύσεο Trinc. Aldus ἄλλά γε δ. V. Ruhnken. H. H. Cer. 495.
110. οὔτοι Harl. Ald. Junt. 1. οὔπη Com.
114. φέρτερα Harl. Pal. Rhed. Ald. Junt.
116. Μύθῳ Trinc. Steph. marg. probante Graevio, νυ om. Emm. Trinc.
118. ἰόλας Emm.
119. τραχεῖα Harl. Ald. Junt. Emm.

δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε
καλὸν, χρύσειον, πολυδαίδαλον, ὃν οἱ ἔδωκε
Παλλὰς Ἀθηναίη, κούρη Διὸς, ὁππότ' ἔμελλε
τὸ πρῶτον στονόεντας ἐφορμήσασθαι ἀέθλους.
θήκατο δ' ἀμφ' ὤμοισιν ἀρῆς ἀλκτῆρα σίδηρον
δεινὸς ἀνήρ· κοίλην δὲ περὶ στήθεσσι φαρέτρην
κὰββάλετ' ἐξόπιθεν· πολλοὶ δ' ἔντοσθεν ὀϊστοὶ
δίγηλοὶ, θανάτοιο λαθιφθόγγιο δοτῆρες.
πρόσθεν μὲν θάνατόν τ' εἶχον, καὶ δάκρυσι μῦρον·
μέσσοι δὲ ξεστοὶ, περιμήκεες· αὐτὰρ ὄπισθεν
μορφνοῖο φλεγύαο καλυπτόμενοι πτερύγεσσιν
ἦσαν. ὁ δ' ὄβριμον ἔγχος ἀκαχμένον εἵλετο χαλκῷ·
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὐτυκτον ἔθηκε,
δαιδαλέην, ἀδάμαντος, ἐπὶ κροτάφοις ἀραρυῖαν,
ἣ τ' εἴρυτο κάρη Ἡρακλῆος θείοιο.
ΧΕΡΣΙ γε μὲν σάκος εἶλε παναίολον· οὐδέ τις αὐτὸ
οὔτ' ἔῤῥηξε βαλὼν, οὔτ' ἔθλασε, θαῦμα ἰδέσθαι.
πᾶν μὲν γὰρ κύκλῳ τιτάνῳ, λευκῷ τ' ἐλέφαντι,
ἠλέκτρῳ θ' ὑπολαμπὲς ἔην, χρυσῷ τε φαεινῷ,
λαμπόμενον· κυάνην δὲ διὰ πτύχες ἠλήλαντο.
ἐν μέσσῳ δὲ δράκοντες ἔσαν φόβος, οὔτι φατειὸς,
ἔμπαλιν ὅσσοισιν πυρὶ λαμπομένοισι θεδορκώς.
τοῦ καὶ ὀδόντων μὲν πλῆτο στόμα λευκὰ θεόντων,
δεινῶν, ἀπλήτων, ἐπὶ δὲ βλοσυροῖο μετώπου
δεινὴ Ἔρις πεπότητο, κορύσσουσα κλόνον ἀνδρῶν,

125. Delevi δ' cum Trinc. MS. Vitteb. apud Herman. Orphic. p. 780. πολυδαιδάλεον ὃν ῥα Emm. ἣν δ' οἱ alii.

130. κὰββαλετ' Ald. Junt. πολλὸν Ald. Junt. δὲ τοι ἔσσαν Trinc.

134. Etymolog. M. p. 795, ult. Φλεγύας ἔστιν ἀετὸς, ἀπὸ τοῦ φλέγειν καὶ λαμπρὸς εἶναι. Οἱ δὲ, ὄρνεον παραπλήσιον γυπί. Ἡσίοδος Ἀσπίδι, Μορφνοῖο φλεγύαο. τουτέστι μέλανος ἀετοῦ.

135. ὄβριμον — ἀκαχμένον αἰθοπι χαλκῷ (sic) Emm. αἴθοπι χαλκῷ Ald. Junt. θυμῷ Harl.

138. ἤρηρο Trinc.

139. Χερσὶ. MS. Palatin. et fere eodem modo Ald. et Flor. editionibus praefixus est titulus huic versui, Ἀρχὴ τοῦ ἐπιγράμματος τῆς ἀσπίδος· quasi vero praecedentia non pertineant ad idem opus. COMMELIN.

Ibid. μὴν Emm. Trinc.

140. ἔτλασε Trinc.

142. ὑπερλαμπὲς Emm.

144. φατεινὸς Emm. et 161. φατεινῶν.

145. ὅσσι δοι Trinc. mox πλᾶτο Ald. Junt. 1.

146. λευκὰ θεόντων. Vide Salmasium Herod. Attic. p. 69.

147. πρωσώπου Trinc.

σχετλίη, ἦ ῥα νύον τε καὶ ἐκ φρένας εἵλετο φωτῶν,
οἵ τινες ἀντιβίην πόλεμον Διὸς υἱῖ φέροιεν.
τῶν καὶ ψυχαὶ μὲν χθόνα δόνουσ' Ἄϊδος εἴσω
αὐτῶν· ὀστέα δέ σφι, περὶ ῥινοῖο σαπείσης,
Σειρίου ἀζαλέοιο κελαινῇ πύθεται ἀΐῃ.
ἐν δὲ προϊωξίς τε παλίωξίς τε τέτυκτο·
ἐν δ' ὅμαδός τε, φόβος τ', ἀνδροκτασίη τε δεδῄει.
ἐν δ' ἔρις, ἐν δὲ κυδοιμὸς ἐθύνεον, ἐν δ' ὀλοὴ κήρ,
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν.
εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι βαφοίνεον αἵματι φωτῶν,
δεινὸν δερκομένη, καναχῇσί τε βερυχυΐα.
ἐν δ' ὀφίων κεφαλαὶ δεινῶν ἔσαν, οὔτι φατειῶν,
δᾴδεκα· ταὶ φοβέεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
οἵτινες ἀντιβίην πόλεμον Διὸς υἱῖ φέροιεν.
τῶν καὶ ὀδόντων μὲν καναχὴ πέλεν, εὖτε μάχοιτο
Ἀμφιτρυωνιάδης· τὰ δὲ δαίετο θαυμαστὰ ἔργα.
στίγματα δ' ὣς ἐπέφαντο ἰδεῖν δεινοῖσι δράκουσι
κυάνεα κατὰ νῶτα, μελάνθησαν δὲ γένεια.
ἐν δὲ συῶν ἀγέλαι χλούνων ἔσαν, ἠδὲ λεόντων
ἐς σφέας δερκομένων, κοτεόντων τ' ἰεμένων τε.
τῶν καὶ ὁμιληδὸν στίχες ἦϊσαν· οὐδέ νυ τάγε
οὐδέτεροι τρείτην· ῥῖσσόν γε μὲν αὐχένας ἄμφω.
ἤδη γάρ σφιν ἔπειτο μέγας λῖς, ἀμφὶ δὲ κάπροι
δοιοί, ἀπουράμενοι ψυχὰς, κατὰ δέ σφι κελαινὸν
αἷμ' ἀπελείβετ' ἔραζε. οἱ δ', αὐχένας ἐξεριπόντες,
κεῖατο τεθνειῶτες ὑπὸ βλοσυροῖσι λέουσι.

149. αἶνυτο Emm. in marg. Trinc.
153. μελαίνῃ Harl. Trinc. καλαινῇ Junt. καλαίνη — αἴῃ Ald.
155. ἀνδροκτασίη δ' ἐδεδῄει Graevius. φονός τ' ἀνδρῶν ἀνδροκτασίη τε Emm. φόνος τ' Trinc.
158. τεθνηῶτα Emm. Trinc.
160. βερυχυΐα Ruhnkenius. Olim βερυθυΐα.
165. δὴ pro τὰ δὲ Emm. θαυμαστὰ Trinc. Palat. MS. Paris. apud Ruhnken. Ep. Crit. p. 26. [Add. Schol. Pindar. p. 51: ed. Böckh. Ed. Lips.] Alii θαῦτά.
167. Quum edd. vett. et codd. Pal. Viteberg. habeant κυάνεοι, legendum puto στιγμαὶ κυάνεαι. Στιγμαὶ adhibuit in explicatione hujus loci J. Diaconus. Hermannus Orphic. p. 702.
Ib. Κυάνεοι Ald. Junt. 1. Pal.
170. ὁμιλαδὸν Trinc. τοίγε Ald. Junt. τῶν γε Harl.
171. οὐδ' ἕτεροι Graevius Ald. Junt. 1.
174. ἀπελείβετ' Ald. Junt. ἀπελείβε τ' Trinc.

τοὶ δ' ἔτι μᾶλλον ἐγειρέσθην, κοτέοντε μάχεσθαι,
ἀμφότεροι, γλοῦναί τε σύες, χαροποί τε λέοντες.
ἐν δ' ἦν ὑσμίνη Λαπιθάων αἰχμητάων,
Καινέα τ' ἀμφὶ ἄνακτα, Δρύαντά τε, Πειρίθοόν τε,
Ὀπλέα τ', Ἐξάδιόν τε, Φάληρόν τε, Πρόλοχόν τε,
Μόψον τ' Ἀμπυκίδην, Τιταρήσιον, ὄζον Ἄρηος,
Θησέα τ' Αἰγείδην, ἐπιείκελον ἀθανάτοισιν·
[ἀργύρεοι, χρύσεια περὶ χροΐ τεύχε' ἔχοντες.]
Κένταυροι δ' ἑτέρωθεν ἐναντίοι ἠγερέθοντο,
ἀμφὶ μέγαν Πετραῖον, ἰδ' Ἄσβολον οἰωνιστήν,
Ἄρκτον θ', Οὔρειόν τε, μελαγχαίτην τε Μάμαντα,
καὶ δύο Πευκείδας, Περιμήδεά τε, Δρύαλόν τε,
ἀργύρεοι, χρυσέας ἐλάτας ἐν χερσὶν ἔχοντες.
καί τε συναΐγδην, ὡσεὶ ζωοί περ ἐόντες,
ἔγχεσιν ἠδ' ἐλάτῃς αὐτοσχεδὸν ὠρίνεσκον.
ἐν δ' Ἄρεος βλοσυροῖο ποδώκεες ἔστασαν ἵπποι,
χρύσεοι· ἐν δὲ καὶ αὐτὸς ἐναρφόρος οὔλιος Ἄρης
αἰχμὴν ἐν χείρεσσιν ἔχων, πρυλέεσσι κελεύων,
αἵματι φοινικόεις, ὡσεὶ ζωοὺς ἐναρίζων·
δίφρῳ ἐπεμβεβαώς. παρὰ δὲ Δεῖμός τε Φόβος τε
ἔστασαν, ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.
ἐν δὲ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,
τῇ ἰκέλη, ὡσεί τε μάχην ἐθέλουσα κορύσσειν,
ἔγχος ἔχουσ' ἐν χερσὶ, χρυσέην τε τρυφάλειαν,
αἰγίδα τ' ἀμφ' ὤμοις· ἐπὶ δ' ᾤχετο φύλοπιν αἰνήν.

181. V. Tzetzes in Lycophr. 881.

181, 182. *Μόψον τ' ἀργείδην ἐπιείκελον ἀθανάτοισιν* Emm.

183. Hic versus deest in MS. Voss. (et Harl.) Videtur additus ab interpolatore, qui hunc locum alteri v. 188. similem facere volebat. Ruhnkenius.

184. *Κένταυροι δ'* Emm. Ald.

188. *Ἀργυρέας — ἔχοντας* Harl.

189. *συναΐγδην.* Ita pro vulg. *συναΐκτην* vir doctus in Obs. Misc. T. I. p. 416. ex Etymolog. M. p. 416. et MSS. quibusdam. Etymologi verba sunt, *συναΐγδην Ἡσίοδος, ἀντὶ τοῦ ὁμοῦ ὥρμων συνέλαβεν.* MS. Dorv. *ὥρμων συνέλαυν.* Lege *συνέλαυνον.*

192. *ἐναριφόρος* Emm. *ἐναρσφόρος* Trinc.

193. *Ἔγχος ἐν* Harl.

195. *δίφρως ἐπεμβεβαώς* Emm. *Δίφρον ἐπεμβεβάως* Harl. *ἐπεμβαὼς* Junt. *ἐπεμβεβαὼς* Ald. *ἐμβεβαὼς* Trinc.

197. *τριττογένεια* Emm.

199. *χειρὶ* Harl. *χρυσέην* Ald. Junt. Trinc. Juniores *χρυσείην.*

200. *ἐπιδ' ἔρχετο* cet. om. Harl.

ἐν δ' ἦν ἀθανάτων ἱερὸς χορός· ἐν δ' ἄρα μέσσῳ
ἱμερόεν κιθάριζεν Λητοῦς καὶ Διὸς υἱός
χρυσείῃ φόρμιγγι· θεῶν δ' ἕδος ἄγνυτ' Ὄλυμπος·
ἐν δ' ἀγορῇ, περὶ δ' ὅλβος ἀπείριτος ἐστεφάνωτο
ἀθανάτων ἐν ἀγῶνι· θεαὶ δ' ἐξῆρχον ἀοιδῆς
Μοῦσαι Πιερίδες, λιγὺ μελπομέναις εἰκυῖαι.
ἐν δὲ λιμὴν εὔορμος ἁμαιμακέτοιο θαλάσσης
κυκλοτερὴς ἐτέτυκτο πανέφθου κασσιτέροιο,
κλυζομένῳ ἴκελος· πολλοί γε μὲν ἀμμέσον αὐτοῦ
δελφῖνες τῇ καὶ τῇ ἰθύνεον ἰχθυάοντες,
νηχομένοις ἴκελοι· δοιοὶ δ' ἀναφυσιόωντες
ἀργύρεοι δελφῖνες ἐθοίνων ἔλλοπας ἰχθῦς.
τῶν ὕπο χάλκειοι τρέον ἰχθύες, αὐτὰρ ἐπ' ἀκταῖς
ἧστο ἀνὴρ ἁλιεὺς δεδακημένος· εἶχε δὲ χερσὶν
